6 δικαcτηcριον A. — 10 τουτο A pr. — 11 γίγνομαι et γιγνώcκω, quemadmodum in quibusdam locis etiam scriptum est, Hyperidi ubique restituit Cb.; Bb. Sw. C. codicem sequuntur. — 13 ειναι A pr., εcτιν A corr. — 14 Διογνίδηc nomen iniuria tentavit Cb.; Διογενείδηc potius, quod reponere vult, non recte derivatum est. Δίογνιc est C. I. A. I, 164. — 17 πλείονοc West. — 20 αγηcικληc A.; corr. Bb. collato Harpocrationis loco (s. v. Ἀγ.): περὶ Ἀγαcικλέουc Ὑπ. λέγει κτέ. — 21 Πειραιῶc Cb. solus. — 25 ἑορακέναι Cb. solus. — 26 sq. neglegentiam quae est in τούτων repetito postquam praecessit ὧν alii defendunt; Cb. locum corruptum censet; Patakis καὶ ὅμωc οὐδεμία conicit; S. ἀλλ' οὐδεμία.

Col. XX. 1 ουδε|νι A pr.; ουδε|ν A corr. — 10 πρὶν (ἂν) αὐτὸ ci. Sw., probav. Cb. S. — 12 cf. Harpocr. v. ἀντιγραφή (frg. 258 S.). — καὶ del. Jernstedt (Observat. Antiphont. p. 29). — 13 εξεταcιν A pr. — 15 μή tollere vult Cb., cui praeter Sw.[1] et West. nemo assensus est. — 17 ὁ φάcκων mire Sp. —

δc κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν τὰc εἰcαγγελίαc ε[ἶναι περὶ τοῦ λέγει[ν μὴ ⟦οὐ⟧ τὰ ἄριcτα τῶι δήμωι, οὐ κατὰ πάν- |
XXI των Ἀθηναίων. — ἐγὼ δὲ οὔτε πρότερον οὐδενὸc ἂν μνηcθείην ἢ τούτου, οὔτε πλείουc οἶμαι δεῖν λόγουc ποιεῖcθαι περὶ ἄλλου τινὸc ἢ ὅπωc ἐν δημοκρατίαι κύριοι οἱ νόμοι ἔcονται, καὶ αἱ εἰcαγγελίαι καὶ αἱ ἄλλαι κρίcειc κατὰ τοὺc νόμουc εἰcί⟦c⟧αcιν εἰc τὸ δικαcτήριον· — διὰ τοῦτο γὰρ ὑμεῖc ὑπὲρ ἁπάντων τῶν ἀδικημάτων, ὅcα ἔcτιν ἐν τῆ(ι) πόλει, νόμουc ἔθεcθε χωρὶc περὶ ἑκάcτου αὐτῶν. — ἀcεβεῖ τιc περὶ τὰ ἱερά· *γράψαι ἀcεβείαc πρὸc τὸν βαcιλέα. — φαῦλόc ἐcτι πρὸc τοὺc ἑαυτοῦ γονεῖc· ὁ ἄρχων ἐπὶ τούτου κάθη[ται]. — παράνομά τιc ἐν τῆ(ι) πόλει |
XXII γράφει· θεcμοθετῶν cυνέδριον ἔcτι. — ἀπαγωγῆc ἄξια ποιεῖ· ἀρχὴ τῶν ἕνδεκα καθέcτηκε. — τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμουc καὶ ἀρχὰc καὶ δικαcτήρια τὰ προcήκοντα ἑκάcτοιc αὐτῶν ἀπέδοτε. — ὑπὲρ τίνων οὖν *ᾤιεcθε δεῖν τὰc εἰcαγγελίαc γίγνεcθαι; τοῦτ' ἤδη καθ' ἕκαcτον ἐν τῶι νόμωι ἐγράψατε, ἵνα μὴ ἀγνοῆ(ι) μηδείc. — ἐάν τιc, φηcί, τὸν δῆμον τὸν Ἀθηναίων καταλύη(ι)·— εἰκότωc ὦ ἄνδρεc δικα-

---

23 ῥητόρων ὄντων S., propter col. 39, 20. 18, 21. 23, 9. — 26 μὴ οὐ nemo defendit praeter JBL.

Col. XXI. 22 γραφαιβαcεβειαc A pr. (eodem fortasse errore quo col. 9, 20 ἀκούειν κελεύειν pro ἀκ. καὶ κελεύειν scripsit); γραφαιαcεβ. A corr. Itaque εἰcὶν desiderat Bb.; inserit Cb. post γραφαί, K. Sw.[1] post ἀcεβ., L. C. Cp. post βαc. Contra γράψαι ci. S. — 23 βαcιλεαι A [sec. Bb. A pr.]. — 25 γονέαc Cb. At. v. C. I. A. II, 243. 251. 263. 589. 612.

Col. XXII. 1 γραφη A pr. — 4 αχρη A pr. (ἡ) ἀρχὴ S. — 10 δικαcτηριαι A. — 12 αποδοτε A pr. — 14 ᾤεcθε Cb., οιεcθε A. — 21 καταλυcη A. —

ϲταί· — ἡ γὰρ τοιαύτη αἰτία οὐ παραδέχεται ϲκῆψι[ν ο]ὐδεμίαν οὐδενὸϲ οὐδ' ὑπωμοϲίαν, ἀλλὰ τὴν ταχίϲτην αὐτὴν δεῖ |

XXIII εἶναι ἐν τῶι δικαϲτηρίωι· — ἢ ϲυνίηι ποι ἐπὶ καταλύϲει τοῦ δήμου ἢ ἑταιρικὸν ϲυναγάγη(ι), ἢ ἐάν τιϲ πόλιν τινὰ προδῶι ἢ ναῦϲ ἢ πεζὴν ἢ ναυτικὴν ϲτρατιάν, ἢ ῥήτωρ ὢν μὴ λέγηι τὰ ἄριϲτα τῶι δήμωι τῶι Ἀθηναίων χρήματα λαμβάνων· — τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων τῶν πολιτῶν γράψαντεϲ, — ἐκ πάντων γὰρ καὶ τἀδικήματα ταῦτα γένοιτ' ἄν· — τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν τῶν ῥητόρων, παρ' οἷϲ ἔϲτιν καὶ τὸ γράφειν τὰ ψηφίϲματα. — ἐμαίνεϲθε γὰρ ἄν, εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεϲθε ἢ οὕτωϲ, — εἰ τὰϲ μὲν τ[ι]μὰϲ καὶ τὰϲ |

XXIV ὠφελίαϲ ἐκ τοῦ λέγειν οἱ ῥήτορεϲ καρποῦνται, τοὺϲ δὲ κινδύνουϲ ὑπὲρ αὐτῶν τοῖϲ ἰδιώταιϲ ἀνεθήκατε. — ἀλλ' ὅμωϲ Πολύευκτοϲ οὕτωϲ ἐϲτὶν ἀνδρεῖοϲ, ὥϲτε εἰϲαγγελίαν διώκων οὐκ ἔφη δεῖν τοὺϲ φεύγονταϲ τῶι εἰϲαγγελτικῶι νόμωι χρῆϲθαι. — καὶ οἱ μὲν ἄλλοι πάντεϲ κατήγοροι, ὅταν οἴωνται δεῖν ἐν τῶι προτέρωι λόγωι ὑφελεῖν τῶν φευγόντων τὰϲ ἀπο-

---

23 τοιαυτηι A. — 27 υπωμθϲιαν A pr., quod puncto sub mediam lineolam Θ litterae posito correctum est.

Col. XXIII. 1 εἰϲιέναι εἰϲ τὸ δικαϲτήριον ci. Bakius ap. Cb.; κρ[[ε]]ῖναι ἐν Halbertsma. — 3 που A pr. — 16 παντω̄ A. — 20 καταυτωνρητορων A pr. — 24 αλλοτια|να A pr.; corr. N addidit et A transfixum delevit. — 27 $\overset{ει}{η}$ταϲ A., puncto supra H litteram addito; unde εἰ τὰϲ omnes praeter C., qui ἢ εἰ τὰϲ edidit. Cobeto tamen post οὕτωϲ aliqua intercidisse videntur. cf. L.[1] p. 518; Gebauer argum. ex contr. p. 179 sq.

Col. XXIV. 1 ὠφελείαϲ West. — 3 ἐκαρποῦντο K., qui et αὑτῶν v. 4 scribendum putavit, sed postea et ipse αὐτῶν agnovit. — 9 ειϲαγγελιαϲ A pr. —

λογίαϲ, — τοῦτο παρακελεύονται τοῖϲ δικαϲταῖϲ, μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων, ἐάν τινεϲ ἔξω τοῦ νόμου λέγωϲιν, ἀλλ' ἀπαντᾶν πρὸϲ τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγι(γ)νώϲκειν· — ϲὺ δὲ τοὔναν- |

XXV τίον τὴν εἰϲ τοὺϲ νόμουϲ καταφυγὴν ἐκ τῆϲ ἀπολογίαϲ οἴει δεῖν ἀφελέϲθαι Εὐξενίππ[ο]υ. — Καὶ πρὸϲ τούτοιϲ οὐδὲ βοηθεῖν οὐδένα φῂϲ δεῖν αὐτῶ(ι) οὐδὲ ϲυναγορεύειν, ἀλλὰ παρακελεύη(ι) τοῖϲ δικαϲταῖϲ μὴ θέλειν ἀκ*ούειν* τῶν ἀναβαινόντων. — καίτοι τί τού(του) τῶν ἐν τῆ(ι) πόλει βέλτιον ἢ δ[*ημο*τικώτερόν ἐϲτι, πολλῶν καὶ ἄλλων καλῶν ὄντων, ἢ ὁπόταν τιϲ ἰδιώτηϲ εἰϲ ἀγῶνα καὶ κίνδυνον καταϲτὰϲ μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖϲθαι, τούτωι τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναβάντα βοηθῆϲαι καὶ τοὺϲ δικαϲτὰϲ ὑπὲρ τοῦ πράγματοϲ τὰ δίκαια διδάξαι; |

XXVI ἀλλὰ νὴ Δία αὐτὸϲ τοιούτωι πράγματι οὐ κέχρηϲαι; ἀλλ' ὅτ' ἔφευγεϲ τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου, δέκα μὲν ϲυνηγόρουϲ ἐκ τῆϲ Αἰγῆιδοϲ φυλῆϲ ἠ(ι)τήϲω, ὧν καὶ ἐγὼ ε[ἷ]ϲ ἦν αἰ-

---

21 μὴ θέλειν West. — 23 εαντι·|νεϲ A.; ἐάν τι Cb. — 27 K.[1] post κελεύειν excidisse putat τὸν γραμματέα.

Col. XXV. 7 φηϲ ubique A., quam scripturam non mutandam censui. — 9 παρακελεύει Cb. — 10 μὴ ἐθέλειν Cb. — 13 τούτου τῶν Cb.[1]: τούτου Sw. Cb. Cp. MO.; retinent τούτων ceteri, coll. pro Lyc. col. 9, 6. C. tamen quod utrobique illud vocabulum cum ἐν τῇ πόλει coniungit, hoc loco coactus est τούτων τῶν conicere. — 14 βελτειον A.

Col. XXVI. 1 μὰ Δία requirebat pridem Cb. — τοι τούτῳ Patakis, τοι οὕτω τῷ Hertlein (Polyaen. p. 13), τοι ϲὺ τῷ S. — 4 αγωνατουε|ξουουδεκα A pr.; corrector deletis ΤΟΥ litteram Є mutavit in Π et ΥΠΑΛЄ post vs. adscripsit; porro v. 5 ανδρ post Ξ et deinde τουεξοι supra vs. addidit. — 6 sq. αιγη|ιδοϲ h. e. Αἰγηΐδοϲ A, quae est forma poëtica, non Attica. — 7 ητηϲωι A. — 8 εγωι A. —

ρεθεὶϲ ὑπὸ ϲοῦ, ἐκ δὲ τῶν ἄλλων [Ἀ]θηναίων ἐκάλειϲ ἐπὶ τὸ δικαϲτήριον τοὺϲ βοηθήϲοντάϲ ϲοι. — καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῶι δὲ τούτωι τῶι ἀγῶνι πῶϲ κέχρηϲαι; οὐ κατηγόρηϲαϲ ὁπόϲα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλειϲ ϲυγκατηγορήϲοντα, οὔτε τῶι λέγειν οὐδενὸϲ τῶν ἐν τῆ(ι) πόλει καταδεέϲτερον ὄντα, παρὰ τούτοιϲ τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; — εἶτα ϲοὶ μὲν ἔξεϲτι καὶ φε[ύ]γοντι τοὺϲ βοηθήϲονταϲ κα- |

XXVII λε[ῖ]ν καὶ διώκοντι το[ὺς] ϲυγκατηγόρουϲ ἀναβιβάϲαϲθαι, ὃϲ οὐ μόνον ὑπὲρ ϲεαυτοῦ δύναϲαι εἰπεῖν, ἀλλὰ καὶ ὅλη(ι) πόλει πράγματα παρέχειν ἱκανὸϲ εἶ, — Εὐξενίππω(ι) δ' ὅτι ἰδιώτηϲ ἐϲτὶ καὶ πρεϲβύτεροϲ οὐδὲ τοὺϲ φίλουϲ καὶ τοὺϲ οἰκείουϲ ἐξέϲται βοηθεῖν, εἰ δὲ μή, διαβληθήϲονται ὑπὸ ϲοῦ; — Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῶι δεινά ἐϲτι καὶ ἄξια θανάτου, ὡϲ ϲὺ λέγειϲ ἐν τῆι κατηγορία(ι). ϲκέψαϲθε δὴ ὦ ἄνδ[ρ]εϲ δικαϲταὶ καθ' ἓν ἕκαϲτον αὐτῶν ἐξετάζοντεϲ. — ὁ δῆμοϲ προϲέταξεν Εὐξενίππωι τρίτωι αὐτῶι ἐγκατακλιθῆναι εἰϲ τὸ ἱερόν, οὗτοϲ δὲ κοιμηθεὶϲ ἐνύπνιόν φηϲιν ἰδεῖν, |

XXVIII ὃ τῶι δήμωι ἀπαγγεῖλαι. — τοῦτ' εἰ μὲν ὑπελάμβανεϲ ἀληθὲϲ εἶναι, καὶ ὃ εἶδεν ἐν τῶι ὕπνωι τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸϲ τὸν δῆμον, τί καὶ ἀδικεῖ ἃ ὁ θεὸϲ αὐτῶι προϲεταττε ταῦτ' ἐξαγγείλαϲ

---

13 κατα A. pr. — 16 τουαγωνοϲ A pr. — 18 ου a correct. additum. οὐ, κατηγορήϲαϲ ὁπ. ἐβ., ⟦οὐ⟧ Λ. Halbertsma. — 20 ϲυνκατ. A. Sw. — 24 τουτοιϲι om. τε A pr.? — 25 επεικηι A pr.; επιεικηι corr.

Col. XXVII. 2 ϲυνκατηγορουϲ A. Sw. — 6 ὅλη τῆ πόλει Cb. — 25 ενκατακλιθηναι A. Sw.; ἐγκατακλινῆναι Cb. — 26 ϊεϱον A.

Col. XXVIII. 3 αληθη A pr.; αληθεϲ A. corr. Tamen illud secutus est Sw. — 7 αδικια (ἀδικῖ ἃ) A pr.; αδικει del. α corr., qui ά (sic) ante v. 8 addidit. Etiam in ηγου v. 12

πρὸϲ Ἀθηναίουϲ; — εἰ δέ, ὥϲπερ νυνὶ λέγειϲ, ἡγοῦ αὐτὸν καταψεύϲαϲθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τιϲι μὴ τἀληθῆ ἀπηγγελκέναι τῶι δήμωι, οὐ ψήφιϲμα ἐχρῆν ϲε πρὸϲ τὸ ἐνύπνιον γράφειν, ἀλλ' ὅπερ ὁ πρότεροϲ ἐμοῦ λέγων εἶπεν, εἰϲ Δελφοὺϲ πέμψαντα πυθέϲθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν. — ϲὺ δὲ τοῦτο μὲν οὐκ ἐποίηϲαϲ, ψήφιϲμα δὲ αὐτοτελὲϲ ἔγραψαϲ κατὰ δυοῖν φυλαῖν οὐ μόνον ἀδικώτατον, |

XXIX ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῶι· — δι' ὅπερ ἥλωϲ παρανόμων, οὐ δι' Εὐξένιππον. Ἐξετάϲωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. — αἱ φυλαὶ ϲύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῶι διείλοντο, τοῦ δήμου αὐταῖϲ δόντοϲ. τοῦτο τὸ ὄροϲ ἔλαχεν Ἀκαμαντὶϲ καὶ Ἱπποθ[[ο]]ωντίϲ. — ταύταϲ τὰϲ φυλὰϲ ἔγραψαϲ ἀποδοῦναι τὸ ὄροϲ τῶι Ἀμφιαράωι καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡϲ πρότερον τοὺϲ ὁριϲτὰϲ τοὺϲ πεντήκοντα ἐξελόνταϲ αὐτὸ τῶι θεῶι καὶ ἀφορίϲανταϲ, καὶ οὐ προϲηκόντωϲ τὰϲ δύο φυλὰϲ ἐχούϲαϲ τὸ ὄροϲ. — μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῶ(ι) ψηφίϲματι γράφειϲ τὰϲ ὀκτὼ φυλὰϲ *πορίϲαι *τοῖν |

XXX δυοῖν φυλαῖν τὰ διάφορα καὶ ἀποδοῦναι, ὅπωϲ ἂν μὴ ἐλαττῶνται. — καίτοι εἰ μὲν ἴδιον (ὂν) τῶν φυλῶν ἀφη(ι)ροῦ τὸ ὄροϲ, πῶϲ οὐκ ὀργῆϲ ἄξιοϲ; — εἰ δὲ μὴ

---

spiritus nota conspicitur. — 12 κατεψεῦϲθαι Patakis. — 19 ποτεροϲ A pr. — 20 ειπειν A pr.

Col. XXIX. 8 ορηι A. — 11 τὸ αὐτὸ ὄροϲ K. — 12 ἔλαχον Cb., recte fortasse; ἐλαχέτην West. — 13 sustuli poëticam formam Ἱπποθοωντίϲ. — 19 πεντηι A. — 27 οκτωι A. — 28 πορίϲαι Cb.: ποιηϲαι, — τοῖν Westermann (Ind. graec. hyper. 8, p. 16) S.: ταν A, ταῖν Bb.

Col. XXX. 5 ἴδιον (ὂν) Cb. Patakis Sw.[1] Cp. JBL.; ἴδιον C. — 7 ἄξιοϲ (εἶ); εἰ Sw. Cb. Cp., ἄξιον; εἰ Langius ap. Sw. — Eo difficilius hoc in loco εἶ excidere potuit, quod post ἄξ. spatium vacuum est in codice; neque praesens tempus aptum est. Num igitur ὀργῆϲ (ἦϲθα) ἄξιοϲ? cf. v. 13. —

προcηκόντωc εἶχον αὐτό, ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰc ἄλλαc φυλὰc ἔγ[ρ]αφεc αὐταῖc προcαποδιδόναι ἀργύριον; ἀγαπητὸν γὰρ ἦν *αὐταῖc εἰ τὰ τοῦ θεοῦ ἀποδώcουcιν καὶ μὴ προcαποτ(ε)ίcουcι ἀργύριον.—Ταῦτ' ἐν τῶι δικαcτηρίωι ἐξεταζόμενα οὐκ ὀρθῶc ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίcαντό cου οἱ δικαcταί. εἶτ' εἰ μὲν ἀπέφυγεc τὴν γραφήν, οὐκ ἂν κατεψεύcατο οὗτοc τοῦ θεοῦ, ἐπειδὴ δὲ cυνέβη cοι ἁλῶναι, Εὐξένιππον δεῖ ἀπολωλέναι; — καὶ cοὶ |
XXXI μὲν τῶι τοιοῦτο ψήφιcμα γράψαντι πέντε καὶ εἴκοcι δραχμῶν ἐτιμήθη, — τὸν δὲ κατακλιθέντα εἰc τὸ ἱερὸν τοῦ δήμου κελεύcαντοc μηδ' ἐν τῆι Ἀττικῆ(ι) δεῖ* τεθάφθαι; Ναί· — δεινὰ γὰρ ἐποίηcεν περὶ τὴν φιάλην ἐάcαc Ὀλυμπιάδα ἀναθεῖναι εἰc τὸ ἄγαλμα τῆc Ὑγιείαc. — τοῦτο γὰρ ὑπολαμβάνειc, ἐφόδιον ἑαυτῶ(ι) εἰc τὸν ἀγῶνα τὸ ἐκείνηc ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου, μῖcοc καὶ ὀργὴν αὐτῶ(ι) cυλλέξειν παρὰ τῶν δικαcτῶν. — δεῖ δὲ ὦ βέλτιcτε μὴ ἐπὶ τῶ(ι) Ὀλυμπιάδοc ὀνόματι καὶ τῶ(ι) Ἀλεξάνδρου τῶν πολιτῶν |
XXXII τινα ζητεῖν κακόν τι ἐργάcαcθαι, ἀλλ' ὅ-

---

12 τἀργύριον Cb. — 14 αυτοιc A, quod retinet L. — 22 ετει A pr. — 23 απεφέυγεc A.

Col. XXXI. 4 ετειμηθηι A. — 5 κατακλινέντα Cb. — 6 ϊερον A. — 8 τεταφ|ναι A pr.; τεταφθαι|ναι A corr. Τεταφέναι exstiterit; inde interpunctionis signum nono demum versui suppositum. — τεθάφθαι· δεινὰ Bb.; ταφῆναι· δεινὰ Sw. Cp. JBL.; τάφῆναι. (νὴ Δία), δεινὰ Cb. Sw.[1]; ταφῆναι. ναί· δεινὰ L. Ipse K. et C. secutus sum. Ναί in figura subiectionis usurpatum exstat e. gr. Din. 1, 7. Andoc. 3, 26. de τεθ. cf. Gebauer argum. ex contr. p. 176. — 9 δεινγαρ A pr. — 13 υγειαc A pr. — τούτῳ Sw.; οὕτω K., quo reiecto idem K. ἕξειν καὶ post ἀγῶνα excidisse putavit. — 15 cαυτῷ Cb. — 18 κολαζεια|ανψευδει A pr. — 21 cυν|λεξειν A Sw. — 24 των ut videtur A pr.

ταν ἐκεῖνοι πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ἐπιστέλλωσι μὴ τὰ δίκαια μηδὲ τὰ προσήκοντα, τότε ἀναστάντα ὑπὲρ τῆς πόλεως ἀντιλέγειν καὶ πρὸς τοὺς ἥκοντας παρ’ αὐτῶν δικαιολογεῖσθαι καὶ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον πορεύεσθαι βοηθήσοντα τῆι πατρίδι. — σὺ δ’ ἐκεῖ μὲν οὐδεπώποτε ἀνέστης οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήσω, ἐνθάδε δὲ μισεῖς Ὀλυμπιάδα ἐπὶ τῶι ἀπολέσαι Εὐξένιππον, καὶ φῂς κόλακα αὐτὸν εἶναι ἐκείνης καὶ Μακεδόνων· — ὃν ἐὰν δείξη(ι)ς ἀφιγμένον πώποτε εἰς Μα- |

XXXIII κεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰς τὴν αὑτοῦ οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα ἢ λόγους καὶ οὑστινασοῦν ἢ ἐπ’ ἐργαστηρίου ἢ ἐν τῆ(ι) ἀγορᾶι ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων εἰρηκότα καὶ μὴ κοσμίως καὶ μετρίως τὰ αὑτοῦ πράττοντα ὥσπερεί τις καὶ ἄλλος τῶν πολιτῶν, χρησάσθωσαν αὐτῶ(ι) οἱ δικασταὶ ὅ τι βούλονται. — εἰ γὰρ ταῦτα ἦν ἀληθῆ ἃ κατηγορεῖς, οὐκ ἂν σὺ μόνος ἤ(ι)δεις, ἀλλὰ καὶ οἱ ἄλλοι πάντες οἱ ἐν τῆι πόλει, ὥσπερ καὶ περὶ τῶν ἄλλων ὅσοι τι ὑπὲρ ἐκείνων ἢ λέγουσιν ἢ πράττουσιν, |

XXXIV οὐ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων καὶ τῶν ῥητόρων τοὺς παρ’ ἐκεί-

---

Col. XXXII. 12 τῶ A. — 20 μειcειc A. — 26 αφειγμενον A.

Col. XXXIII. 5 τινι in margine additum. — 7 λογουcc A pr. — 17 χρηcάcθων Cb.

Col. XXXIV. 1 οὗτοι [Cb.], ut intellegantur iudices, quod probant K. Cp. Cb. At hic est sensus: „non hercle occulta res est, ut ipsi modo sibi conscii sint“. Non possunt iudices ceteris civibus ita opponi, ut accuratior notitia talium rerum eis adscribatur. Neque magis post ἴcαcι excidit γάρ

νων μισθαρνοῦντας καὶ τῶν ἄλλων τοὺς ξενίζοντας τοὺς ἐκεῖθεν ἥκοντας καὶ ὑποδεχομένους καὶ εἰς τὰς ὁδοὺς ὑπαντῶντας ὅταν προσίωσι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἐνὶ τούτων Εὐξένιππον καταριθμούμενον· — σὺ δ' ἐκείνων μὲν οὐδένα κρίνεις οὐδ' εἰς ἀγῶνα καθίστης, οὓς πάντες ἴσασι ταῦτα πράττοντας, κατ' Εὐξενίππου δὲ κολακείαν [κ]ατηγορεῖς, οὗ ὁ βίος τὴν αἰτίαν οὐ παραδέχεται. |

XXXV καίτοι, εἰ νοῦν εἶχες, περί γε τῆς φιάλης τῆς ἀνατεθείσης οὔτ' ἂν Εὐξένιππον ἠ(ι)τιῶ οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήσω· οὐ γὰρ ἁρμόττει. — διὰ τί; καί μου τὸν λόγον ὦ ἄνδρες δικασταὶ ἀκούσατε, ὃν μέλλω λέγειν. (—) Ὑμῖν Ὀλυμπιὰς ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δωδώνη(ι) οὐ δίκαια, ὡς ἐγὼ δὶς ἤδη ἐν τῶι δήμωι ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸς τοὺς ἥκοντας παρ' αὐτῆς ἐξήλεγξα οὐ προσήκοντα αὐτὴν ἐγκλήματα τῆ(ι) πόλει ἐγκαλοῦσαν. ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος προσ-

---

(K[1]). — 14 προΐωσι Cb. Pat. Cp. JBL4., quod et ipsum non necessarium est. „Cum advenientes in urbem eos prospiciant, in viam occurrunt.“ προσείωσι aliquando ci. Sh. —

22 πραττοντες A pr. — 23 κατ' delet Cb. — 25 ο̊υβιος A. — τὴν αἰτίαν iniuria sollicitant Bakius et Cb. (ταύτην τήν, τοιαύτην). — In fine columnae additus fuit versus: καιτοιει-ουνειχες, qui a correctore uncis inclusus est.

Col. XXXV. 1 ειουνειχες A pr. — 5 ητιωι A. — 7 εποιησωι A. — 8 Spatium vacuum hoc loco et ante et post διὰ τί relictum est; sed cf. c. Dem. 22, 8. Ceterum διὰ τί delere vult K[1]. — 12 in codice post ὑμῖν demum interpunctum est; praeterea linea extremo vs. 11 supposita est. — ενκλ. A Sw. — 15 pro ὡς K[1] conicit καί, consulens eidem difficultati cui Cb. expungendo verba οὐ προσήκ. — ἐγκαλοῦσαν mederi studuerat. Nunc idem Cb. longe melius: ἐξήλεγξα (καὶ ἀπέδειξα). — 22 et 23 cod. εγκ. offert.

ἔταξεν ἐν τῆι μαντείαι τὸ ἄγαλμα τῆc Διώνηc ἐπικοc- |

XXXVI μῆcαι· καὶ ὑμεῖc πρόcωπόν τε *ποιηcάμενοι ὡc οἷόν τε κάλλιcτον καὶ τἆλλα πάντα τὰ ἀκόλουθα, καὶ κόcμον πολὺν καὶ πολυτελῆ τῆι θεῶι παραcκευάcαντεc καὶ θεωρίαν καὶ θυcίαν πολλῶν χρημάτων ἀποcτείλαντεc ἐπεκοcμήcατε τὸ ἕδοc τῆc Διώνηc ἀξίωc καὶ ὑμῶν αὐτῶν καὶ τῆc θεοῦ. — ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ' Ὀλυμπιάδοc ἐν ταῖc ἐπιcτολαῖc, ὡc ἡ χώρα εἴη ἡ *Μολοττία αὐτῆc, ἐν ἧ(ι) τὸ ἱερόν ἐcτιν· οὔκουν προcῆκεν ἡμᾶc τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. — ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίcηcθε εἶναι, |

XXXVII τρόπον τινὰ καὶ ἡμῶν αὐτῶν καταγι(γ)νώcκομεν ὡc τὰ ἐκεῖ οὐκ ὀρθῶc ἐπράξαμεν· — ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν, τὰc τραγω(ι)δίαc αὐτῆc καὶ τὰc κατηγορίαc ἀφη(ι)ρηκότεc ἐcόμεθα. — οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνηcιν ἱερὰ ἐπικοcμεῖν ἔξεcτιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνη(ι) οὐκ ἐξέcται, καὶ ταῦτα τοῦ θεοῦ προcτάξαντοc. Ἀλλ' οὐκ ἔcτιν ὦ Πολύευκτε, ὡc ἐμοὶ δοκεῖc, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήcαιο. καίτοι cε

Col. XXXVI. 2 κοcμηcαμενοι A. κομιcάμενοι Pat. Sw.[1] Cp.; ποιηcάμενοι K. — 7 πολυτεληι A. — 11 απεcτειλαντεc A pr. — 15 ϋ|περ A. — 17 Hic quoque εγκλ. A. — 20 ἡ Μολοccία (sic enim A) ut manifestum emblema eicit Cb., non adversante Sw.[1], probantibus K. Cp.; at recte JBL. monuit, nihil praeter formam ibi suspectam esse; hanc igitur mutandam. — 21 τοϊερον A. — 22 οὐκοῦν Bb. — 23 προcήκειν Cb. Pat. Cp. S.; sed ita imperfecti notio obscuratur. — 26 φιλην A pr. — 27 ἀδικήμαcι Ls. coll. Xenoph. Oec. 4, 4.

Col. XXXVII. 2 αὐτῶν errore om. C. — καταγεινωcκομεν A. — 7 Post ἐῶμεν recte distinguunt Sch. K.[1] Cp. Cb.[1] — 19 δοκειc A, δοκεῖ errore Bb. Sw.; δοκεῖ, ὁπόθεν ci. Cb. —

ἐχρῆν, ἐπείπερ προή(ι)ρηϲαι πολιτεύεϲθαι, καὶ νὴ Δία καὶ δύναϲαι, μὴ τοὺϲ ἰδιώταϲ κρίνειν μηδ' εἰϲ τούτουϲ νεανιεύεϲθαι, ἀλλὰ τῶν ῥητό- | XXXVIII ρων ἐάν τιϲ ἀδικῆι, τοῦτον κρίνειν, ϲτρατηγὸϲ ἐάν τιϲ μὴ τὰ δίκαια πράττηι, τοῦτον εἰϲαγγέλλειν· παρὰ γὰρ τούτοιϲ ἐϲτὶ καὶ τὸ δύναϲθαι βλάπτειν τὴν πόλιν, ὅϲοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ' Εὐξενίππωι οὐδὲ τῶν δικαϲτῶν τούτων οὐδενί. — καὶ οὐ ϲὲ μὲν οὕτωϲ οἴομαι δεῖν πράττειν, αὐτὸϲ δὲ ἄλλον τινὰ τρόπον τῆ(ι) πολιτεία(ι) κέχρημαι, ἀλλ' οὐδ' αὐτὸϲ ἰδιώτην οὐδένα πώποτε ἐν τῶι βίωι ἔκρινα, ἤδη δέ τιϲι καθ' ὅϲον ἐδυνάμην ἐβοήθηϲα. τίναϲ οὖν κέκρικα καὶ εἰϲ ἀγῶνα καθέϲτακα; Ἀριϲτοφῶντα τὸν Ἀζηνιέα, ὃϲ ἰϲχυρότατοϲ ἐν τῆι πολιτεία(ι) γεγένηται· — | XXXIX καὶ οὗτοϲ ἐν τούτωι τῶι δικαϲτηρίωι παρὰ δύο ψήφουϲ ἀπέφυγε· — Διοπ(ε)ίθη τὸν Ϲφήττιον, ὃϲ δεινότατοϲ (ἐ)δόκει εἶναι τῶν ἐν τῆι πόλει· Φιλοκράτη τὸν Ἁγνούϲιον, ὃϲ θραϲύτατα καὶ ἀϲελγέϲτατα τῆι πολιτεία(ι) κέχρηται· τοῦτον (ε)ἰϲαγγείλαϲ ἐγὼ ὑπὲρ ὧν Φιλίππω(ι) ὑπηρέτει ⟦και⟧ κατὰ τῆϲ πόλεωϲ εἷλον ἐν τῶι δικαϲτηρίωι, καὶ τὴν εἰϲαγγελίαν ἔγραψα δικαίαν καὶ ὥϲπερ ὁ νόμοϲ κελεύει, ῥή-

22 εἴπερ Cb. — 23 προηρηϲθαι A pr. — 24 νηδυα A pr.

Col. XXXVIII. 2 κρίνειν (ἢ) Cb.; at asyndeton optime se habet. — 10 spatio vacuo quod est post προαιρ. respondet linea huic versui supposita; at ea cancellis circumscripta est. — 14 οιμαι A pr. — 15 αὐτὸϲ δὲ (καὶ) ἄλλον male L. — 20 εκρεινα A. — 24 καὶ εἰϲ ἀγῶνα καθέϲτακα delet Cb.; JBL. καθέϲτακα in κατέϲτηϲα mutari iubet. Sw. K. C. Cp. codicis lectionem retinent; sed cf. Cp. p. 90. — 26 Ἀζηνιέα Sch. Cp., Ἀζηνιᾶ Cb.; αιζηνιεα A. — 28 ἐγεγένητο S.

Col. XXXIX. 6 ἐδόκει Sch. S. propter temporum rationes. — 11 ἐκέχρητο S. — 11 sq. ι|ϲαγγελιαϲ A pr. — 13 ὑπηρετήκει Schoemann ap. Sw.[1] (quamquam ipse ὑπηρέτηκε propter

τορα ὄντα λέγειν μὴ τὰ ἄριcτα τῶι δήμωι τῶι Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰc παρὰ τῶν τἀναντία πραττόντων τῶι δήμω(ι)· καὶ οὐδ' οὕτωc ἀπέχρηcέ μοι τὴν εἰc- |

XL αγγελίαν ⟦αν⟧ δοῦναι, ἀλλ' ὑποκάτω παρέγραψα· τάδ' εἶπεν οὐ τὰ ἄριcτα τῶ(ι) δήμωι χρήματα λαβών, εἶτα τὸ ψήφιcμα αὐτοῦ ὑπέγραψα· — καί· πάλιν τάδε εἶπεν οὐ τὰ ἄριcτα τῶι δήμωι χρήματα λαβών, καὶ τὸ ψήφιcμα παρέγραφον. καὶ ἔcτι μοι πεντάκιc ἢ ἑξάκιc τοῦτο γεγραμμένον· δίκαιον γὰρ ᾤ(ι)μην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίcιν ποιῆcαι. — cὺ δ' ἃ μὲν εἰπεῖν Εὐξένιππον φῂc οὐ τὰ ἄριcτα τῶι δήμωι οὐκ εἶχεc γράψαι εἰc τὴν εἰcαγγελίαν, ἰδιώτην δ' ὄντα κρίνειc ἐν τῆ(ι) τοῦ ῥήτοροc τάξει· — μικρὰ δὲ περὶ τῆc ἀντιγραφῆc εἰπὼν ἑτέραc αἰτίαc καὶ διαβολὰc |

XLI ἥκειc φέρων κατ' αὐτοῦ, — λέγων ὡc Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ Δημοτίωνοc δίαιταν ἔλαβεν, καὶ ἄλλαc τοιαύταc κατηγορίαc, ἵν' ἐὰν μὲν ἀφέμενοι τῆc εἰcαγγελίαc περὶ τῶν ἔξω τοῦ πράγματοc κατηγορηθέντων ἀπολογῶνται, ἀπαντῶcιν αὐτοῖc οἱ δικαcταί· «τί ταῦθ' ἡμῖν λέγετε;» — ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν αὐτοῖc χείρων γί(γ)νηται· τῶν γὰρ κατηγορηθέντων τὸ μὴ λαβὸν ἀπολογίαν ὑπὸ τῆι ὀργῆι τῶν δικαcτῶν καταλ(ε)ίπεται. — καὶ τὸ πάντων δειν(ότ)ατον τῶν

---

maiorem similitudinem praeferens) Cb. C. al. Ego nunc και delere malui. — 24 δωρεc A pr.

Col. XL. 7 καί· πάλιν S.; interpungebatur καὶ πάλιν·. — 24 μεικρα A.

Col. XLI. 7 post κατηγορίαc excidisse aliqua putat K.[1], in hunc fere modum: οἵαc οἱ cυκοφάνται εἰώθαcι κατὰ τῶν φευγόντων λέγειν. — 13 versui interpunctionis nota subscripta, sed deinde uncis inclusa est. Idem accidit 38, 10. —

ἐν τῶ(ι) λόγωι λεγομένων ὑπὸ ϲοῦ, ὃ ϲὺ ὤ(ι)ου λανθάνειν ὧν ἕ- |

XLII νεκα λέγειϲ, οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῶ(ι) λόγω(ι) πολλάκιϲ, ὡϲ πλούϲιόϲ ἐϲτιν Εὐξένιπποϲ, καὶ πάλιν διαλιπὼν ὡϲ οὐκ ἐκ δικαίου πολλὴν οὐϲίαν ϲυνείλεκται· ἃ εἰϲ μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐϲτὶν εἴτε πολλὰ οὗτοϲ κέκτηται εἴτε ὀλίγα, τοῦ δὲ λέγοντοϲ κακοήθ(ε)ια καὶ ὑπόληψιϲ εἰϲ τοὺϲ δικαϲτὰϲ οὐ δικαία, ὡϲ ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν ϲχοίηϲαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματοϲ καὶ πότε[ρον] ἀδικεῖ ὑμᾶϲ ὁ κριν[όμ]ενοϲ ἢ οὔ. Κακ[ῶϲ] μοι δοκεῖϲ εἰδ[έν]αι ὦ Πολύευκτε κ[αὶ ϲὺ] καὶ οἱ ταὐτὰ γιγνώϲκο]ντεϲ, ὅτι οὔτε δῆμόϲ ἐ]ϲτιν οὐδ[ὲ εἷϲ] ἐν τῆι οἰκου- |

XLIII μένη(ι) οὔτε μόναρχοϲ οὔτε ἔθνοϲ μεγαλοψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, — τοὺϲ δὲ ϲυκοφαντουμένουϲ τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ ἄθρουϲ οὐ προΐεται ἀλλὰ βοηθεῖ. — καὶ πρῶτον μὲν Τ(ε)ίϲιδοϲ τοῦ Ἀγρυλῆθεν ἀπογράψαντοϲ τὴν Εὐθυκράτουϲ οὐ-

26 οϲοω|ου A a pr. m. habuit; sed alterum o in υ correctum est.

Col. XLII. 7 pro εκ antea εδ scriptum fuit. — 8 ϲυνιλεκται A pr. — ϲχοίηϲαν] cf. H. de gr. Hyp. 106. — 20 Verba καὶ — οὔ cum antecedentibus cohaerere primi intellexerunt Cb. K. — 23 κακῶϲ ἐμοὶ Cb. Cp.; κακῶϲ δ' ἐμοὶ K. C. (κ. δέ μοι S.), quod spatium excedere videtur. — 25 sq. καὶ ϲὺ καὶ οἱ ταὐτὰ γινώϲκοντεϲ πάντεϲ MO.; Cb. nunc: ϲύ τε καὶ οἱ ταὐτὰ γιγν. ϲοι; S. ὅϲ γε δίκαιοϲ ταῦτα γι[νώϲκειν. Sed de ΝΤΕϹ v. 26 minime dubitandum. L.: [ὥϲπερ] καὶ οἱ ταὐτὰ ἤ[δη ϲοι γνόν]τεϲ; sed ΓΙ esse videmus, non Η. — 26 sqq. K.: ὅτι οὐδεμία πόλιϲ ἐϲτὶν οὐδαμοῦ ἐν τῇ οἰκ.; JBL. L. (nunc etiam S. Cb.): ὅτι οὔτε πόλιϲ ἐϲτὶν οὐδεμία ἐν —. Sed v. 28 littera quae fuit ante Ε non Α sed Ϲ fuisse videtur; quare οὔτε δῆμόϲ ἐϲτιν οὐδὲ εἷϲ (ita, nisi quod οὐδεὶϲ, pridem Cb. Cp.; cf. col. 36, 24) praeferendum duxi.

Col. XLIII. 2 ουτεθεωνοϲ A pr.; ουτεεθνοϲ A corr. —

ϲίαν ὡϲ δημοϲίαν οὖϲαν, ἢ πλεόνων ἢ ἑξήκοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπιϲχνουμένου τὴν Φιλίππ[ου] καὶ Ναυϲικλέουϲ ἀ[πο]γράψειν καὶ λέγο[ντ]οϲ ὡϲ ἐξ ἀναπογρ[άφ]ων μετάλλων ˙π[επλ]ουτήκαϲι, τοϲο[ῦτον οὗ]τοι ἀπέλιπον [τοῦ πρ]οϲέϲθαι τινὰ τ[οιοῦτο]ν λόγον |
XLIV ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥϲτε τὸν ἐγχειρήϲαντα ϲυκοφαντεῖν αὐτοὺϲ εὐθὺϲ ἠτίμωϲαν, τὸ πέμπτον μέροϲ τῶν ψήφων οὐ μεταδόντεϲ. — τοῦτο δ', εἰ βούλει, τὸ πρώ(ι)ην ὑπὸ τῶν δικαϲτῶν πραχθὲν τοῦ ἐξελθόντοϲ μηνὸϲ πῶϲ οὐ μεγάλου ἐπαίνου ἄξιόν ἐϲτι; — φήναντοϲ γὰρ Λυϲάνδρου τὸ Ἐπικράτουϲ μέταλλον τοῦ Παλληνέωϲ (ὡϲ) ἐντὸϲ τῶν μ[έτ]ρων τετμημένον, ὃ ἠργάζετο μὲν ἤ[δ]η τρία ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλουϲ[ιώ]τατοι ϲχεδόν τι τῶ[ν] ἐν τῆι πόλει, — ὁ δὲ Λ[ύϲα]νδροϲ ὑπιϲχνεῖτ[ο τρι]ακόϲια τάλαντα εἰϲ[πράξει]ν τῆι πόλει· τ[οϲαῦτα γ]ὰρ εἰληφέναι α[ὐτοὺϲ ἐ]κ |
XLV τοῦ μετάλλου· — ἀλλ' ὅμωϲ οἱ δικαϲταὶ οὐ πρὸϲ τὰϲ τοῦ κατηγόρου ὑποϲχέϲειϲ ἀποβλέποντεϲ, ἀλλὰ πρὸϲ τὸ δίκαιον ἔγνωϲαν ἴδιον εἶναι τὸ μέταλλον, καὶ τῆι αὐτῆ(ι) ψήφω(ι) τάϲ τε οὐϲίαϲ αὐτῶν

---

15 πλεῖν ἢ West. — 19 υπιϲχο primum scriptum esse videtur; sed libr. statim O in N mutavit. — 25 τοϲοῦτον C. Cb., τοϲοῦτο Bb. — 26 τοῦ προϲέϲθαι Sp. JBL. L. C.; προϲέϲθαι contra spatium Sw. Cp.; αὐτοῦ προϲέϲθαι S., tamquam exigente spatio, quod secus est. Ceterum A pr. ..οεϲθαι; Cb. προϲίεϲθαι, Patakis προϲήϲεϲθαι emendare volunt. — 27 τοιοῦτον (Bb. Sw. al.) melius spatium explet quam τούτων (Sp. JBL.).

Col. XLIV. 3 ενχειρ. A. Sw. — 5 ητιωϲαν A pr. — 8 προιηην A pr., πρωην corr. — 17 ὡϲ addidi cum Cb. coll. col. 43, 14. — ἐκτὸϲ Cb. et hic et ap. Dem. 37, 36. — 18 εἰργάζετο Cb. JBL. Cp. — 20 ετηι A. — 24 υπειϲχνειτο A. — 25 εἰϲπράξειν Sw. — 26 rest. Bb. — 27 αὐτοὺϲ Cb. Sw.[1] L. C.; Bb. αὐτόν.

Col. XLV. 5 αλα A pr. — 9 αυτω̄ A. —

ἐν ἀϲφαλεία(ι) κατέϲτηϲαν καὶ τὴν ὑπόλοιπον ἐργαϲίαν τοῦ μετάλλου ἐβεβαίωϲαν. τοιγαροῦν αἱ καινοτομίαι (αἱ) πρότερον ἐκλελ(ε)ιμμέναι διὰ τὸν φόβον νῦν ἐνεργοὶ καὶ τῆϲ πόλεωϲ αἱ πρόϲοδοι αἱ ἐκεῖθεν πάλιν αὔξονται, ἃϲ ἐλυμήναντό τινε[ϲ τῶν ῥητόρων ἐξ[απ]ατήϲαντεϲ τὸν δῆμον καὶ δαϲμολ[ογήϲαντεϲ τοὺϲ ἐκ[εῖθεν. — ἔϲτι γὰρ ὦ ἄνδρ[εϲ δικαϲταὶ οὐχ οὗτοϲ [ἄριϲτοϲ πολίτηϲ, ὅ[ϲτιϲ |

XLVI μικρὰ δοὺϲ πλείω βλάπτει τὰ κοινά, οὐδ' ὅϲτιϲ εἰϲ τὸ παραχρῆμα ἐξ ἀδίκου πορίϲαϲ κατέλυϲε τῆϲ πόλεωϲ τὴν ἐκ δικαίου πρόϲοδον, ἀλλ' ὅτωι μέλει καὶ τῶν εἰϲ τὸν ἔπειτα χρόνον ὠφελίμων τῆι πόλει καὶ τῆϲ ὁμονοίαϲ τῶν πολιτῶν καὶ τῆϲ δόξηϲ τῆϲ ὑμετέραϲ· ὧν ἔνιοι οὐ φροντίζουϲιν, ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρουϲ φαϲὶ τούτουϲ πορίζειν, ἀπορίαν ἐν τῆ(ι) πόλει παραϲκευάζοντεϲ· — ὅταν γὰρ *ἦι φοβερὸν τὸ κτᾶϲθαι καὶ φείδεϲθαι, τίϲ βουλήϲεται κινδυνεύειν; — Τούτουϲ μὲν οὖν ἴϲωϲ οὐ ῥάιδιόν ἐϲτι κωλῦϲαι ταῦτα πράττειν, (—) ὑμεῖϲ δὲ ὦ ἄνδρεϲ δικα- |

XLVII ϲταί, ὥϲπερ καὶ ἄλλουϲ πολλοὺϲ ϲεϲώκατε τῶν πολιτῶν ἀδίκωϲ εἰϲ ἀγῶναϲ καταϲτάνταϲ, οὕτω καὶ Εὐξενίππωι βοηθήϲατε —

---

10 ἐν ἀϲφαλεῖ Cb. — 15 καινοτομίαι (αἱ) πρότ. ἐκλ. Cb., probantibus Sw.[1] JBL. Cp. West. — 17 ἐνεργοί (Sw.[1] al.) et spatio satisfacit et sensui, neque post οι in papyro quidquam praeter signum 7 exstitit. Bb. ἐνεργοῦνται, quod spatium excedit; Cb. ἐνεργοί εἰϲι siglo scriptum fuisse dicit. — 25 ἐκεῖθεν JBL. Cp. L. S.; ἐκεῖ K., ἐκτημένουϲ Sw. in schol., quorum neutrum cum spatio convenit. ἐκτενεῖϲ ci. C., ἐκλύτουϲ L[1]; ἔχ[ονταϲ non recte Sw. Cb.; ἐκ[δόνταϲ Cb.[1] coll. Xenoph. de Vect. IV, 15 sq.

Col. XLVI. 1 πλειωι A. — 9 ωφελιμω̄ A. — 15 εργαζομενω̄ A. — 18 τῆ πόλει remoto ἐν Bakius ap. Cb., quod probat K. — 20 ην A; corr. Bb. — v. 27 paragraphum habet, quam debebat v. 26.

Col. XLVII. 4 καθεϲτανταϲ A pr. —

καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸς ἀξίωι καὶ εἰσαγγελίαι τοιαύτηι, ἧι οὐ μόνον οὐκ ἔνοχός ἐστιν, ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺς νόμους ἐστὶν εἰσηγγελμένη καὶ πρὸς τούτοις ὑπ' αὐτοῦ τοῦ κατηγόρου τρόπον τινὰ ἀπολελυμένη. — εἰσήγγελκε γὰρ αὐτὸν Πολύευκτος λέγειν μὴ τὰ ἄριστα τῶι δήμωι τῶι Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῶ(ι) δήμωι τῶ(ι) Ἀθηναίων. εἰ μὲν οὖν ἔξωθεν τῆς |

XLVIII πόλεώς τινας ἡ(ι)τιᾶτο εἶναι, παρ' ὧν τὰ δῶρα εἰληφότα Εὐξένιππον συναγωνίζεσθαι αὐτοῖς, ἣν ἂν αὐτῶι εἰπεῖν ὅτι, ἐπειδὴ ἐκείνους οὐκ ἔστι τιμωρήσασθαι, δεῖ τοὺς ἐνθάδε *αὐτοῖς ὑπηρετοῦντας δίκην δοῦναι. — νῦν δὲ Ἀθηναίους φησὶν εἶναι, παρ' ὧν τὰς δωρεὰς εἰληφέναι αὐτόν. — εἶτα σὺ ἔχων ἐν τῆι πόλει τοὺς ὑπεναντία πράττοντας τῶι δήμω(ι) οὐ τιμωρῆ(ι) ἀλλ' Εὐξενίππω(ι) πράγματα παρέχεις; — Βραχὺ δ' ἔτι εἰπὼν περὶ τῆς ψήφου ἧς ὑμεῖς μέλλετε φέρειν καταβήσομαι. — ὅταν γὰρ μέλλητε ὦ ἄνδρες δικασταὶ διαψηφίζεσθαι, κελεύετε |

XLIX ὑμῖν τὸν γραμματέα ὑπαναγνῶναι τήν τε εἰσαγγελίαν καὶ τὸν νόμον τὸν εἰσαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἠλιαστικόν· καὶ τοὺς μὲν λόγους ἁπάντων ἡμῶν ἀφέλε-

---

7 Frohb. ἀπολλύμενον vel διαφθαρέντα excidisse putat; S. v. 14. 17 εἰσηγγελμένον et ἀπολελυμένον scribendum esse ci.; sed comparat Cb. Dem. c. Apatur. 12; Arist. Ach. 55; Fu. Isocr. 14, 55, 6, 70; ipse Fro. Dem. 28, 20. 19, 229 affert. — 10 εισαγγελια A pr., εισαγγελιαι corr. — τοιαυτηιου A pr.; corr. HI supra versum cum spiritus signo addidit. — 20 sq. τωιδηι|μωι A.

Col. XLVIII. 5 ηεν αυ|τωι A pr. — 9 αυτους A; αὐτοῖς Bb. Sw. (qui tamen dubitat an αὐτοῦ verius sit) Cb. L.; C. codicis lectionem defendit. — 18 τειμωρη A.; τιμωρεῖ Cb. — 21 βραχὺ δέ τι Bb. JBL.; βρ. δ' ἔτι Cb. Sw.[1] L. C. Cp.

τε, — ἐκ δὲ τῆc εἰcαγγελίαc καὶ τῶν νόμων cκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῆ(ι) δίκαιον καὶ εὔορκον εἶναι, τοῦτο ψηφίcαcθε. — Ἐγὼ μὲν οὖν coὶ Εὐξένιππε βεβοήθηκα ὅcα εἶχον. λοιπὸν δ' ἐcτὶ δεῖcθαι τῶν δικαcτῶν καὶ τοὺc φίλουc παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεcθαι.

Ὑπὲρ Εὐξενίππου
εἰcαγγελίαc
ἀπολογία πρὸc
Πολύευκcον.

Col. XLIX. 14 τουτοτοψηφιcαcθαι A pr. — 15 post coι exciderit ω vel ωι (ῷ) propter summam similitudinem. — 18 δειcθαι exstare in A etiam Bb. ap. Sw.[1] testatur. — 21 ταπαιδια A corr.; a pr. m. δικαια fuit. — 22 principium versus ultimi eodem modo exornatum est quo Lycophroneae finis.

VOLVMEN B.

IV.

[ЄΠΙΤΑΦΙΟϹ.]

Pap. Stobartianus.

I (I. II) Τῶν μὲν λόγων τ[ῶν μελ-λ]όντων ῥηθήϲεϲ[θαι ἐπὶ τῶιδε τῶι τάφωι[ι περί τε Λεωϲθένουϲ τοῦ ϲτ[ρατη-γοῦ καὶ περὶ τῶν ἄ[λλων τῶν μετ' ἐκείνου [τετε-λ]ευτηκότων ἐν τ[ῶι πο-λέμωι, ὡϲ ἦϲαν ἄν[δρεϲ ἀ]γαθοί, μα.τ. . . . .ρονοϲοι. . . . .

Inscriptio in papyro nusquam legitur.

Col. I. Nunc composui ex fragmentis duobus, quorum in primo v. 1—19 et vigesimi duae litterae insunt. Neque adeo dubia res esse videtur; sed dolendum quod praeter parvulam alterius partem haec fragmenta a tergo nunc charta caerulea operta sunt; quod ni esset, ex eis quae ibi scripta sunt fortasse certo iudicare liceret, utrum una columna haec esset an duae. — in priore frg. neque a dextra neque a sinistra parte margo usquam servatus est; consentiunt tamen nunc paene omnes in principio versuum nonnisi unam duasve litteras deesse. — 1 Τῶν μὲν Cb. S. Sp. Bb[1]. — 3 περὶ] A. Bb.; περί τε Cb. S. — 9 μά[ρτυρεϲ olim Cb., qui nunc μά[λιϲτα μὲν ci. Idem etiam sequentia restituere conatus est (p. 23 ed. I): ὁ χρ]όνοϲ ὁ ϲ[ύμπαϲ — — οὐδὲν ἔργ]ον πω κά[λλειον ἑ]όρακεν. Longius etiam progressus Bue.: μάρτ[υϲ ἀκριβὴϲ ὁ χ]ρόνοϲ ὁ ἴ[δὼν ἐν τῷ πολέμ]ῳ τὰϲ π[ράξειϲ, ὧν οὐδεὶ]ϲ ἄνθρω[ποϲ οὐδὲν ἔργ]ον πω κά[λλιον καθε]όρακεν, ὥ[ϲτε οὐδ' ἐν τῷ π]αντὶ αἰῶ[νι νομιϲτέον γ]εγενῆ[ϲθαι οὔτε] ἄνδραϲ [ἀμείνουϲ τῶν] τετελευ[τηκότων τῶνδε] οὔτε π[ράξειϲ τῶν ὑπ]ὸ τ[ῶνδε πεπραγμένων ἀξιω-τέραϲ ἐπαινεῖν καὶ μνημονεύειν τοῖϲ] ἔπει[τα. διόπερ] καὶ μάλιϲτα κτέ. — Ego sic conieci: μάρτ[υρεϲ ἔϲεϲθε τὸ πα]ρὸν

..ωι τὰς πϱ.......... ..c ἀνθρω[π......οὐδέν]ων πω κα........... ..ϱγακε[[ν]]ωϱ.....[ἐν τῶι ἅπ]αντι αἰῶ[νι......... γ]εγεννη........... ἄνδρας............ τετελετ............ οὔτε πρ[ϱαιρέcειc μεγαλ]οπρεπεcτ[έρας. διὸ καὶ μάλιcτα [φοβοῦμαι, μή μοι cυμ[βῆι τὸν λ]όγον ἐλ[[λ]]άττ[ω φαίν]εcθαι τῶν ἔρ[γων τῶν γεγεν[[ν]]η[[μένων. πλὴν κατ' [ἐκεῖνό γε πάλι(ν) θα[ρρῶ, ὅτι τὰ ὑπ' ἐμοῦ *[παραλειπόμενα *ὑμεῖc οἱ ἀκούοντες προcθήcετε· οὐ *γὰρ ἐ(ν) τοῖc τυχοῦcιν οἱ λόγοι ῥηθήcονται, ἀλλ' ἐν αὐτοῖc τοῖ(c) μάρτυcι τῶν (ἐκ)είνοι[c |

π]επραγμένων. Ἄξιον δέ II (III)
ἐc]τιν ἐπαινεῖν (τ)ὴν μὲν πό]λιν ἡμῶν (τ)ῆc προαιρέcεω]c ἕνεκεν, τὸ προελέcθ]αι ὅμοια καὶ ἔτι cεμνό]τερα καὶ καλλίω *τῶν πρότ]ερον αὐτῆι πεπραγμέ]νων, τοὺc δὲ τετελευ]τηκότας τῆc ἀνδρείας]ς τῆc ἐν τῶι πολέμωι, τὸ μὴ καταιcχῦναι τὰc τῶν προγόνων ἀρετάc· τὸν δὲ cτρατηγὸν Λεωcθένη διὰ ἀμφότερα· τῆc τε γὰρ προαιρέcεωc εἰc-

---

ὅcοι [cυνήλθετε. — V. 13. prima litt. ω potius fuisse videtur quam ο. — 14 prima litt. ρ fuisse videtur (quamquam non negaverim quin etiam ο fuisse possit); altera γ est, minime ρ; sexta (N) transfixa est, unde Bb. ἔργα καὶ ω.... — 16 γ]εγεννη... solemnis error librarii esse videtur; cf. v. 25; IV, 23 al. — 18 post λε non υ fuit, sed τ vel π; sed is error librarii fuerit, qui τελετ scripserit pro τελευτ. — 19 cf. col. XIII, 37. — 20 litt. οπ sunt in fragmento priore. — [δ | καὶ S., [διόπερ] καὶ Bue. — 21 φοβοῦμαι Bb. — 23 γενέcθαι Bb.; φαίνεcθαι K. Cb. S. N litterae reliquias in A[1] agnovit Sandys. — 26 κατ' ἐκεῖνό γε πάλιν Sp. Cb. S. — 28 κ[αταλει]πόμενα Bb.; παραλειπόμενα S. K. Librarius etiam pro ὑμεῖc v. 29 υμειν scripsit, omnem sententiam male detorquens. — 31 γὰρ] γαι A[1]. — 33 αυτοι (c supra) A[1]. — 34 μαρτυcιτνν A[1] pr.?? Deinde ειvoï, quae puncta cum S. reliquias C litterae supra scriptae putare possis. Itaque ἐκείνοις S. Sp. C. Bb.[1]; ἐκεῖ Bb.

Col. II. 1 δ' ἐ|c]τὶν K. Cb.; δέ ἐcτιν S. — 4 τοῦ pro τὸ V. — 6 in fine πω (ν supra) A[1]. — 11 V. τοῦ μή. — in fine τα (c supra) A[1].

ηγητὴc τῆι πόλ(ε)ι ἐγένετο καὶ τῆc στρατείαc ἡγεμὼν τοῖc πολίταιc κατέcτη. — Περὶ μὲν οὖν τ]ῆc πόλεωc διεξιέναι τ]ὸ καθ' ἕκαcτον τῶν πρότε]ρον * * * πᾶcαν τὴν Ἑλλάδα] οὔτε ὁ χρόνοc ὁ παρὼ]ν ἱκανόc, οὔτε ὁ καιρὸς] ἁρμόττων τῶ(ι) μακρ]ολογεῖν, οὔτε ῥάιδιον] ἕνα ὄντα τοcαύτας] καὶ τηλικαύταc πράξειc] *ἐπελθεῖν καὶ μνημο]νεῦcαι. ἐπὶ κεφαλαίου δ]ὲ οὐκ *ὀκνήcω εἰπεῖν

III (IV)

περ]ὶ αὐτῆc· — ὥcπερ γὰρ] ὁ ἥλιοc πᾶcαν [[πᾶcαν]] τὴν οἰκουμ[ένη]ν ἐπέρχεται, — τὰ[c μὲν] ὥραc διακρίνων [εἰc τὸ π]ρέπον καὶ καλῶ[c πάντα καθ]ιcτάc, τοῖc δὲ c[ώφροcι καὶ *ἐπ]ιεικέcι τ[ῶν ἀνθρώπ]ων ἐπιμ[ελούμενοc κ]αὶ γεν[έcεωc τῆc τροφῆ]c καὶ καρπ]ῶν κ[αὶ τῶν ἄ]λλων ἁπά]ντων τῶν [εἰ]c τὸν β[ίο]ν χρηcίμων· — οὕτωc κα[ὶ] ἡ πόλιc ἡμῶν διατελε[ῖ τοὺ]ς μὲν κακοὺ(c) κολάζο[υcα, τοὺς] δὲ δικαίο(υ)c ῥ[υομένη], *τὸ δὲ ἴcον ἀν-

---

— 18 πολειταιc A^1. — 21 .οκατ A^1 pr., .οκαθ corr. τὰ καθ' ἕκ. Cb. — 22 ρων A^1 pr.. — post πρότ. Bb. πεπραγμένων κατὰ addit; similiter Cb.: ἀνὰ πᾶcαν τ. Ἑ. πεπραγμένων. K.: πρότ., οἷc cώζουcα διετέλει πᾶcαν τ. Ἑ.; Cp. τῶν πρότ. διαcωcάντων π. τ. Ἑ.; S.: ἃ καθ' ἕκ. τῶν πρ. π. τ. Ἑ. εὐηργέτηκεν, quod rec. T., nisi quod pro ἃ ὃ scripsit, secutus Bb. in postscr. — 28 τηλικαυτ.c A^1 pr., supra scripto α. — 29 απελθειν A^1; ἐπελθεῖν Bb.; διελθεῖν S.; διεξελθεῖν ci. Cb. — 30 sq. κεφαλαί[ου] Bb.; κεφαλαί[ων] Cb. S. — δὲ] Bb., δ'] S. — ωκνηcω A^1. — 33 $\overset{η}{ο}$λιοc A^1.

Col. III. 3 [ἀεὶ κατὰ τὸ π]ρέπον Bb.; καὶ εἰc τὸ πρέπον S.; κατὰ τρόπον Cb. — 4 καὶ καλο[ὺc καιροὺc καθι]cτάc Bb.; καὶ καλὸν πάντα καθ. S.; καὶ καλῶ[c πάντα καθ. Cb. Ceterum ρεπ$\overset{ν}{ο}$ et cτ$\overset{c}{α}$ A^1. — 5 sq. π]ει|ϊκεcιτ A^1. Bue.: τοῖc δὲ ἀνθρώποιc τὴν ἐπεικεcτάτην πᾶcιν ἔχων ἐπιμέλειαν καὶ γενέcεωc καὶ ζωῆc καὶ τροφῆc καὶ τῶν ἄλλων κτέ., in quibus αὔξηc pro ζωῆc mavult Fu. coll. Plat. Rep. 509 B. At Cb.: ἐπιμ[ελόμενοc κ]αὶ γ[ιγνόμενοc χορηγὸ]c καὶ [τροφῆ]c καὶ τῶν ἄλλων κτέ. — 9 ....ονα Bb. K.; ον S., unde hic: καὶ [ἀφθ]ον[ίαν τῶν ἄλ]λων. — 10 πά]ντων Bb.; ἁπά]ντων rectius Cb. S. — 13 κ$\overset{α}{ο}$λ A^1. — 15 προτιμῶcα Bb., τιμῶcα

τὶ τῆϲ πλεονε]ξίαϲ ἅπαϲιν φυλάττουϲα, τ]οῖϲ δὲ ἰδίοιϲ κινδύνοιϲ κα]ὶ δαπάναι[ϲ κοινὴν ἄδει]αν τοῖϲ Ἕλλη[ϲιν παραϲκευ]άζουϲα. — [ἀλλὰ περὶ μὲ]ν τῶν κοινῶ[ν τῶν τῆϲ πόλ]εωϲ ὥϲπερ [προεῖπον] *καταλεί*ψω, πε[ρὶ δὲ Λεωϲθέν]ουϲ καὶ τῶν ἄ[λλων τοὺϲ λόγ]ουϲ ποιήϲομ[αι. — ἀπορ]ῶ δὲ πόθεν ἄρξωμα[ι λέγων] ἢ τίνοϲ *πρώτου μνηϲθῶ. — πότερα περ[ὶ] τοῦ γένουϲ αὐτῶν *ἑκάϲτου διεξέλθω; ἀλλ' εὔηθεϲ εἶναι ὑπολαμβάνω· τὸ(ν) μὲν(γὰρ) ἄλλουϲ τινὰϲ ἀνθρώπουϲ ἐγκωμιάζοντα, |

Cb. Bb.[1] — τὸ δὲ ἴϲον — ἅπαϲιν] ita amicus quidam Babingtonis ap. illum. ποιδειϲοναν [haud ambigue A[1]. — 17 sqq. cf. Lycurg. § 104. — 19 τὴν ἐλευθερί]αν pro κοινὴν ἄδ. (quod exstat ap. Lycurgum) mavult Cb. — 20 παραϲκευ]άζουϲα Bb. — 21 περὶ μὲν οὖ]ν τ. Bb. ἐπεὶ δὲ περὶ τῶν K[1]. ἕκαϲτον μὲν οὖν M. — 22 sqq. εω (c supra ω) (antea est spatium vacuum capax III litt.) | ωϲπερ[π].......καιαλι|φω A[1] (an και pro και exstitit? pro αλι sunt qui legant αμ). v. 22 Bb.: κοινῶν ἔργων τῆϲ πόλεωϲ (πράξεων pro ἔργων F. Cp. Cb.[1]); S. T.: κοινῶν τῶν τῆϲ πόλεωϲ; Breitenbach: κ. τῆϲδε τῆϲ π.; Mh.: κ. καὶ τῆϲ π.; C.: κοινῶν τὸν λόγον ταχέωϲ. — 23 ὥϲπερ [ἐν βραχεῖ εἴρητ]αι †αλιφω Bb. ὥϲπερ [εἶπον φρά]ϲαι χαλεπόν K. ὥ. [χρὴ δηλῶ]ϲαι (δοκῶ vel simile aliquid) S. [Cp.] T., qui ἐλπίζω pro δοκῶ ponit (Ls. νομίζω). ὥ. [εἰκὸϲ φρά]ϲαι παραλείψω M. ὥ. [εἶπον ἐάϲω] καὶ .... Cp. ὥ. προείρηται καταλείψω C. Totum locum inde a v. 21 ita constituit K[2].: [οὐκ ἔχων δὲ ὁμοῦ περὶ τούτων | εἰπεῖν καὶ περὶ παϲῶ]ν τῶν | κοινῶ[ν πράξεων τῆϲ πόλ]εωϲ, ὥϲπερ [χρή, καὶ ὑμνῆ]ϲαι ἅμ|φω, περὶ Λεωϲθ. κτέ. — 23 sq. παραλείπω Bue. — 24 περὶ δὲ Λεωϲθένουϲ Bb. — 25 τῶν ἄλλων ἤδη τοὺϲ λόγουϲ Bb.; om. ἤδη S. — 26 ποιηϲόμενοϲ ἐνθά]δε S. Sh.; ποιήϲομαι. νῦ]ν δὲ Bb.; ποιήϲομαι. ἀπορ]ῶ δὲ Cb. Sp. JBL. In A[1] (cf. Sch.) dimidia pars litterae ω servata est. ποθε (ν supra ε) A[1]. — 27 ἐπαινῶν Bb.; αὐτῶν K.; λέγειν Cb. Bb.[1]; λέγων S. C. — 28 πρώτου Cb. coll. Dem. 18, 129; Isocr. 15, 140: πρωτον A[1]. — 30 εκαϲτω A[1]. — 31 ηθεϲιναι (ε supra ϲι) A[1]. — 32 τὸν μὲν γὰρ Sch. ap. Bb. S.; τὸ μὲν Cp. C.; cf. IV, 5. τινουϲ A[1] pr.

IV (V) οἳ πολλαχόθεν εἰϲ μίαν πόλιν [[ϲυν]] ϲυνεληλυθότεϲ οἰκοῦϲι γένοϲ ἴδιον ἕκαϲτοϲ ϲυνειϲενεγκάμενοϲ, τούτων μὲν δεῖ κατ' [ἄ]νδρα γενεαλογεῖν — ἕκαϲτον· περὶ δὲ Ἀθηναίων ἀνδρῶν τοὺ(ϲ) λόγου(ϲ) ποιούμενον, οἷϲ ἡ κοινὴ γένεϲιϲ α[ὐτόχ]θοϲιν οὖϲιν ἀνυπέρβλητ[ον] τὴν εὐγένειαν ἔχει, πε[ρ]ίεργον ἡγοῦμαι εἶναι ἰδία[ι τὰ] γένη ἐγκωμιάζειν. — ἀλλὰ [πε]ρὶ τῆϲ παιδείαϲ αὐτῶν ἐπι[μνη]ϲθῶ, καὶ ὡϲ ἐν πολλῆι ϲ[ωφρο]ϲύνηι παῖδεϲ ὄντ[εϲ ἐτρά]φηϲαν, καὶ *ἐπαιδε[ύθηϲαν *ἅπερ εἰώθαϲιν [παιδεύειν; — ἀλλ' οἶμαι π[άνταϲ εἰδέναι ὅτι τούτο[υ ἕνεκα τοὺϲ παῖδαϲ παιδεύο[μεν, ἵνα ἄνδρεϲ ἀγαθοὶ γ[ένωνται· τοὺϲ δὲ *γεγενημ[ένουϲ ἐν τῶι πολέμωι ἄνδρ[αϲ ὑπερβάλλονταϲ τῆι ἀ[ρετῆι, πρόδηλόν ἐϲτιν ὅτι πα[ῖδεϲ ὄντεϲ καλῶϲ ἐπαιδε[ύθηϲαν. — ἁπλούϲτατον ο[ὖν ἡγοῦμαι εἶναι τὴν ἐν τ[ῶι πολέμωι διεξελθεῖν ἀρετὴν καὶ ὡϲ πολλῶν ἀγαθῶν αἴτιοι γεγένη(ν)ται τῆι *πατρίδι καὶ τοῖϲ ἄλλοιϲ Ἕλληϲιν. — ἄρξομαι δὲ πρῶτον ἀπὸ τοῦ ϲτρατηγοῦ. καὶ γὰρ δίκαιον. Λεωϲθένηϲ γὰρ ὁρῶν τὴν Ἑλλάδα πᾶ[ϲ]αν τεταπεινωμένην καὶ [. . . κατ]επτη- |

Col. IV. 3 ἴδιον A¹. — 5 τουτων A¹; τοῦτον Cb. S. — δεῖ] δὴ C. Cp.; δεῖν Sh. (qui supra τὸ μὲν ἄλλουϲ et τούτων retinent). — αντρα A¹ pr. — 8 ποιούμενοϲ corr. Cb. probante S. p. 56. — 17 επεδ. . . . A¹; emend. Bb. (ἐπεδείξαντο C.) — 18 οπερ A¹. — εἰώθαϲι ν[έουϲ παιδεύ]ειν Bb. εἰώθαϲιν παιδεύειν S. οἱ ἄλλοι ποιεῖν Lightf. ap. Bb. in postscr. ἀπὸ νέων ποιεῖν C. οἱ ἄλλοι ἐπαινεῖν F. Cp. (ἄνδρεϲ ἀϲκ-εῖν T. K.², ἐλεύθεροι s. Ἀθηναῖοι μαθ-εῖν M.) — 19 [πάνταϲ] Bb.; πάνταϲ ὑμᾶϲ Cb. — 21 τούτου ἕν. δεῖ τ. π. παιδευθῆναι Bb.; τ. ἕν. τ. π. παιδεύομεν S. M. Bb.¹; δεῖ — παιδεύε[ϲθαι F. — 22 γ[ένων]ται Bb.; γ[ίνων]ται S. — 23 γεγεννη[μενουϲ A¹. — 24 ἄνδρ[αϲ C. K. Cp. Cb. — οὕτωϲ in proecd. addidi. — 28 ἁπλ. δ[ὲ Bb.; ἁ. δὴ K.; sed littera fuit potius O, unde ο[ὖν Cb. S. Bb¹. — 33 πατριτι A¹. — 38 τεταπ. καὶ [τὴν] εὐη]μερ]ίαν Bb.; sed

V (VI) χυ]ῖαν, κατεφθαρμένην ὑπὸ τῶν] *δωροδοκούντων παρὰ Φιλίπ]που καὶ Ἀλεξάνδρου κατὰ τῶν] πατρίδων τῶν αὐτῶν, καὶ τ]ὴν μὲν πόλιν ἡμῶν δεομέ]νην ἀνδρόϲ, τὴν δ' *Ἑλλάδα πᾶ]ϲαν πόλεωϲ, ἥτιϲ προϲτῆναι δυ]νήϲεται τῆϲ ἡγεμονίαϲ, ἐπέ]δωκεν *ἑαυτὸν μὲν τῆι πατρί]δι, τὴν δὲ πόλιν τοῖϲ Ἕλληϲ[ιν] εἰϲ τὴν ἐλευθερίαν· καὶ ξενικὴν μὲν δύναμιν (ϲυ)ϲτηϲάμενοϲ, τῆϲ δὲ πολιτικῆϲ ἡγεμὼν καταϲτάϲ, τοὺϲ πρώτουϲ ἀντιταξαμένουϲ τῆι τῶν Ἑλλήνων ἐλευθερίαι Βοιωτοὺϲ καὶ Μακεδόναϲ καὶ Εὐβοέαϲ καὶ τοὺϲ ἄλλουϲ ϲυμμάχουϲ αὐτῶν ἐνίκηϲε μαχόμενοϲ ἐν τῆι Βοιωτίαι. ἐντεῦθεν δ' ἐλθὼν εἰϲ Πύλαϲ καὶ κατα[[λα]]λαβὼν τὰϲ πα]ρόδουϲ, δι' ὧν καὶ πρότερον ἐπὶ τ]οὺϲ Ἕλληναϲ οἱ βάρβαροι ἐπο]ρεύθηϲαν, τῆϲ μὲν ἐπὶ τὴν] Ἑλλάδα πορείαϲ Ἀντίπ]ατρον ἐκώλυϲεν, αὐτὸν δὲ κα]ταλαβὼν ἐν τοῖϲ τόποιϲ τούτοι]ϲ καὶ μάχηι νικήϲαϲ ἐπολιόρ]κει κατακλείϲαϲ εἰϲ Λαμίαν· Θ]εϲϲαλοὺϲ δὲ καὶ Φωκέαϲ καὶ

ЄΠΤΗ diserte scriptum est. καὶ κατεπτηχυῖαν Classen ap. K. S. Bb.[1], egregie nisi quod spatio non sufficit; itaque καὶ δέει κατ. Sandys, κ. ἔτι κ. Cb.[1], κ. φόβῳ κ. Mh., κ. ἤδη κ. Schk. Conf. [Demad.] Exc. (ed. H. Haupt Herm. XIII) 12. Simplex ἐπτ. est ap. Isocr. 5, 58 (Cb.).

Col. V. 1 καὶ ἐφθ. Mh. — 2 δωροδονουντων A[1]. — 6 ολλα[δα A[1]. — 8 δυνήϲεται Sch. Bb[1]. — 9 ...δωκενμενεναυτον A[1]. ἀπέδωκεν ἑαυτὸν μὲν Bb.; ἐπέδωκεν μὲν ἑαυτὸν K.; ἐπέδ. ἑ. μὲν S. Cb. — 12 ϲυϲτηϲάμενοϲ Bb.; κτηϲάμ. K. — 13 πολ^{ε}ιτικηϲ A[1]. — 14 πρωτου|ϲαντ. A[1]. — 18 Εὐβοᾶϲ corr. Cb. probante S. p. 58. — 20 μαχόμενοϲ A[1] corr., Cb., S.; μαχομενουϲ A[1] pr. — 23 εἰϲ]όδουϲ Bb.; παρόδουϲ Sp. probante S. l. c. P litterae vestigium agnoscit Sch.; Sandys I potius fuisse putat (διόδουϲ). — 30 κατακλῄϲαϲ West. —

Αἰ]τωλοὺϲ καὶ τοὺϲ ἄλλουϲ ἅπανταϲ τοὺϲ ἐν τῶι τόπωι ϲυμμάχουϲ ἐποιήϲατο, καὶ ὧν Φίλιπποϲ καὶ Ἀλέξανδροϲ ἀκόντων ἡγούμενοι ἐϲεμνύνοντο, τούτων Λεωϲθένηϲ ἑκόντων τὴν ἡγεμονίαν ἔλαβεν. ϲυνέβη δ' αὐτῶι τῶν μὲν πραγμάτων ὧν προεί[λετο κρατῆϲαι, — |

VI (VII) τῆϲ δὲ εἱ[μαρ]μένηϲ *οὐκ ἦν περιγενέ[ϲθαι.] — δίκαιον δ' ἐϲτὶν μὴ μ[όνον] ὧν ἔπραξεν Λεωϲθέν[ηϲ ζῶν] χάριν ἔχειν αὐτῶι πρ[ώτωι, ἀ]λλὰ καὶ τῆϲ ὕϲτερον [γενομέν]ηϲ μάχηϲ μετὰ τ[ὸν ἐκείνο]υ θάνατον καὶ τῶν [ἄλλων ἀγ]αθῶν τῶν ἐν τῆι ϲ[τρατείαι τ]αύτηι ϲυμβάντων [τοῖϲ Ἕλ]ληϲιν· ἐπὶ γὰρ τοῖϲ ὑπὸ [Λε]ωϲθένουϲ (τε)θεῖϲιν θεμελίοιϲ οἰκοδομοῦϲιν οἱ νῦν τὰϲ ὕϲτερον πράξειϲ. — Καὶ μηδεὶϲ ὑπολάβη(ι) με τῶν ἄλλων πολιτῶν μη]δένα λόγον ποιεῖϲθαι, ἀλλὰ] Λεωϲθένη *μόν(ον) ἐγκωμιάζ]ειν. ϲυμβαίνει γὰρ τὸν Λε]ωϲθένουϲ ἔπαινον ἐπὶ ταῖ]ϲ μάχαιϲ ἐγκώμιον καὶ τῶν ἄλ]λων πολιτῶν εἶναι· το[ῦ μὲν] γὰρ βουλεύεϲθαι κα[λῶϲ ὁ ϲτρα]τηγὸϲ αἴτιοϲ, τοῦ δὲ ν[ικᾶν μαχ]ομένουϲ οἱ κινδυν[εύειν ἐθ]έλοντεϲ τοῖϲ ϲώ-

---

33 ϲυμμαχου (ϲ supra) A¹. — 34 φιλιπποϲ — A¹. — 36 εϲεμνυοντο A¹ pr. — τουτωνλε — A¹. — 38 ϲυν.βη A pr.; ϵ supra vers. additum. — 40 κρατηϲαι A¹ corr.; — ϲησ pr.

Col. VI. 1 τηϲδεϊ A¹. — ουγην A¹. — 4 Λεωϲθ. αὐτὸϲ Bb.; Λ. τότε Sh. ap. Bb.; Λ. ζῶν K.²; Λ. τὴν proecd. coll. Lys. 24, 27. — 5 π[ολλήν Bb.; πλείϲτην Classen ap. K.; πᾶϲαν proecdos. — 6 γενομένηϲ Bb.; γεγενημένηϲ S. — 7 τούτου Bb.; ἐκείνου M. probante Sch. — 8 τῶν πάντων M.; τῶν ἄλλων Bb.; τῶν πολλῶν Maehly. — 17 λεωϲθενημενεγκω A¹. ἐν τῷ Λ. μὲν ἐγκ. Bb. φάϲκων Λ. μ' ἕν' ἐγκ. Sh. ἐν τῷ Λ. λίαν Z. διὰ τὸ Λ. μόνον Cb. ἀλλὰ Λ. μόνον S. K. καὶ Λ. μόνον Cp. — 18 ϲυμβ. — εἶναι 21 deleri vult M., def. Bue. — 20 ἔπ. τὸν ἐπὶ T. —

μαc[ιν· — ὥcτ]ε ὅταν ἐπαιν[ῶ τὴν γ]εγονυῖαν νίκην, ἅμα τ[ῆι Λε]ωcθένουc ἡγεμονίαι καὶ [τὴν τ]ῶν ἄλλων ἀρετὴν ἐγκωμ[ιάζ]ω. — τίc γὰρ οὐκ ἂν δικα[ίωc] ἐπαινοίη τῶν πολιτῶ[ν το]ὺc ἐν τῶιδε τῶι πολέμω[ι τε]λευτήcανταc, οἳ τὰc *ἑα[υτῶ]ν ψυχὰc ἔδωκαν ὑπὲρ τῆ[c τῶ]ν Ἑλλήνων ἐλευθερίαc, [φα]νερωτάτην ἀπόδειξιν τ[αύτ]ην ἡγούμενοι εἶναι τοῦ [βούλ]εcθαι τῆι Ἑλλάδι τὴν] ἐλε[υθερ]ίαν |

VII (VIII) περιθεῖναι, τὸ μαχόμ[ενοι τελευτῆcαι ὑπὲρ *αὐτῆ[c. μέγα δ' αὐτοῖc cυνεβάλετ[ο εἰ]ς τὸ προθύμωc ὑπὲρ τῆc [πατρίδοc ἀγωνίcαcθαι τὸ ἐν τῆ[ι Βοιωτίαι τὴν μάχην τὴν π[ροτέραν γενέcθαι. ἑώρων γὰ[ρ τὴν πόλιν τῶν Θηβαίων οἰκτ[ρῶc ἠφα]νιcμένην ἐξ ἀνθρώπων, [τὴν δὲ ἀ]κρόπολιν ⟦[ἐξ]⟧ αὐτῆc φρουρου[μένην] ὑπὸ τῶν Μακεδόνων, τὰ *δὲ cώματα τῶν ἐνοικούντων ἐξηνδραποδιcμένα, τὴν δὲ χώραν ἄλ-

---

26 ὥcτ]ε ὅταν Bb., idem v. 30 ἐγκωμιάζειν. ὥcτ' ἐμ]ὲ — ἐγκωμιάζειν C. Cb. ὥcτ]ε ὅταν — ἐγκωμιάζω S. K. Bb.[1] In vs. 26 litterae mirum in modum distractae sunt, et in fine longissima linea transversa addita. — 27 γ]εγονυῖαν A[1]. — 33 ..λευτηcάντεc A[1] pr. — 34 τacενα... A[1]. τὰc ἐν αὑτοῖc ψ. Maehly. — 38 primum ι et longitudine praecellit et crassis lineis duabus transfixum est.

Col. VII. 1 μαχόμενοι Bb.; μαχομένουc S. — 2 αυτοι... A[1]; αὐτῆc Bb.; αὑτοῦ K. — 4 πατρίδοc Bb.; Ἑλλάδοc S. — 6 πρότερον Bb.; πρώτην Sch. Cb. Bb.[1], προτέραν S. — 7 αιωρων A[1] pr.; A in Є mutatum, I transfixum est. Super Є spiritus lenis signum est. — τὴν μὲν πόλιν Bb.; τὴν πόλιν S. Pro hac est spatii ratio; nam in fine versus signum 7 exstabat. — 10 ἐξαυτῆc Bb.; ἐξ del. Cb. S. (cf. v. 9). ἔτι

λουc*διανενεμημένουc, ὥcτε πρὸ ὀφθαλμῶν ὁρώμενα αὐτοῖc τὰ δεινὰ ἄοκνον π[αρ]εῖχε τόλμα(ν) εἰc τὸ κινδυνεύειν [προ]χείρωc. (—) ἀλλὰ μὴν τήν γε π[ερὶ Π]ύλαc καὶ Λαμίαν μάχην γεν[ομένη]ν οὐχ ἧττον αὐτοῖc ἔνδο[ξον γεν]έcθαι *cυμβέβηκεν ἧc [ἐν Βοιω]τοῖc ἠγωνίcαντο, οὐ μόνον [τῶι μαχο]μένουc νικᾶν Ἀντίπατρον [καὶ τοὺc c]υμμάχουc, ἀλλὰ καὶ τῶι τόπω[ι, τῶι ἐ]νταυθοῖ γεγενῆcθαι τὴν μ[άχην. ἀφ]ικνούμενοι γὰρ οἱ Ἕλλη[νεc ἅπα]ντεc δὶc τοῦ ἐνιαυτοῦ εἰc [τὴν Πυλ]αίαν θεωροὶ γενήcοντ[αι τῶν ἔργων τῶν π[επρα]γμένων αὐτοῖc· ἅμα γὰρ εἰc τ[ὸν τό]πον *ἀθροιcθήcονται καὶ τ[ῆc τού]των ἀρετῆc μνηcθήcοντ[αι.—ο]ὐδέν*εc γὰρ πώποτε τῶν γεγονότων οὔτε περὶ καλλιόνων οὔτε πρὸc ἰcχυροτέρουc οὔτε μετ' ἐλαττόνων ἠγωνίcαντο, τὴν ἀρετὴν ἰcχὺν καὶ τὴν ἀνδρείαν πλῆθοc ἀλλ' οὐ τὸν πολὺν ἀριθμὸν τῶν cωμάτων

αὐτῆc M. — τατεcω A[1]; em. Cb. S. — 14 διανενεμημένουc Cb.: διανεμομενουc A[1]. — 17 paragraphus per errorem sequenti demum versui supposita. — 18 πρὸc Πύλαc Bb.; περὶ Π. Cb. S. M. Bb[1]. — 20 cυνβεβηκει A[1]; em. Bb. — 21 ηγωνιcα^{ν}|το A[1]. — 24 τῶν τόπων S. — 25 sq. Cf. Harpocr. s. v. Πύλαι· ὅτι δὲ δὶc (Sch.; codd. τιc) ἐγίγνετο cύνοδοc τῶν Ἀμφικτυόνων εἰc Πύλαc, Ὑπ. τε ἐν ἐπιτ. καὶ Θεόπομποc ἐν τῇ λ' εἰρήκαcιν. — 28 θεωροιγενηcοντ[αικὰὶ]τ̇ῆc̈τόυ A[1], cum scribentis oculi aberrassent ad v. 31 αθροιcθηcονταικαιτηcτου. — 30 π[ον pro τον fuerit, deinde το]ποναρ ut vid. A[1] (pr. τοποναν). — 32 ....υ— A[1]. — 33 .υ|δενοc A[1]. — 34 καλλειονων A[1]. — 34 προcϊc| A[1], ut ϊcχυν 36. — 35 οὔτε del. Cb. probante S. p. 58; contra dicit K.[2]; οὐδὲ ci. Schk. — 38 cωματω^{ν} A[1], cuiusmodi scripturas posthac iam non eno-

εἶναι κρίνοντεc. καὶ τὴν μὲν ἐλευθερίαν εἰc τὸ κοινὸν πᾶcιν κατέθεcαν, τὴν δ' εὐδοξίαν ἀπὸ τῶν πράξεων ἴδιον cτέφανον τῆι πατρίδ[ι περι]έθηκαν. (—) Ἄξιον |

VIII (IX) τοίνυν cυλλογίcαcθαι καὶ τί ἂν cυμβῆναι νομίζο⟦ι⟧μεν μὴ κατὰ τρόπον τούτων ἀγωνι⟦α⟧cαμένων. — ἆρ' οὐκ ἂν ἑνὸc μὲν δεcπότου τὴν οἰκουμένην ὑπήκοον ἅπαcαν εἶναι, νόμωι δὲ τῶι *τούτου τρόπωι ἐξ ἀνάγκηc χρῆcθαι τὴν Ἑλλάδα; cυνελόντα δ' εἰπεῖν τὴν Μακεδόνων ὑπερηφανίαν καὶ μὴ τὴν τοῦ δικαίου δύναμιν ἰcχύειν παρ' ἑκάcτοιc, ὥcτε *μήτε γυνα(ι)κῶν μήτε παρθένων *μήτε παίδων ὕβρ(ε)ιc *** ἀνεκλείπτουc ἑκάcτοιc καθεcτάναι. φανερὸν δ' ἐξ ⟦τ⟧ῶν *ἠναγκαζόμε⟦c⟧θα καὶ νῦν ἤ[δη·] θυcίαc μὲν ἀνθρώποιc γ[ιγνο]μέναc ἐφορᾶν, ἀγάλμ[ατα δὲ] καὶ βωμοὺc καὶ ναοὺc τοῖ[c μὲν] θεοῖc

---

tabo. — 39 εἶναι del. M. κρεινοντεc A¹. — 41 ευτοξιαν A¹ pr. — 42 ἴδιον A¹. — 43 ἀνέθηκαν Bb. T., περιέθηκαν S. Cb. Bb¹. — Interpunctio hic quoque proximo demum versui supposita.

Col. VIII. 1 c. τί ἂν καὶ K., καὶ cυλλ. τί Mh. — νομίζομεν K. Cb. S. — 6 νομωι A¹, non νομω, quod in ectypo est. — 7 τουτωι A¹. — 8 cυνελόντι Bb.; cυνελόντα A¹ S., qui cf. Herod. 3, 82. — 11 δυναμειν ϊcχυειν A¹. — 12 μετε A¹. — 14 μηδε A¹; μήτε F. — ἂν ἐκλείπτουc S.; ἐκλείπτουc ἂν Cp., quae propter intolerabilem circuitum eloquendi non sufficere videntur. Cb.: μήτε γυν. μ. π. μηδε(μίαν φειδὼ γίγνεcθαι ἀλλὰ καὶ τούτων καὶ) παίδ. ὕβρ. ἀνεκλ. κτέ. K. (et ego in proecd.) ante ἀν. addit ἀνιέναι ποτέ, ἀλλ'; Schnitzer ci.: μηδὲ παίδων αἰδῶ μηδεμίαν ἐπέχειν (s. εἶναι), ἀλλ' ὕβρ. ἀν. κ.; ἀπροcδοκήτουc pro ἀνεκλ. M. — 16 ἐξ ὧν Bb., ἐξ αὐτῶν ἃ K. — αναγ A¹, ἠναγκ. T. — 17 ἔ[χειν Bb., ἔ[cτι Cp., ἔ[τι K. Sp., ἐὰν Cf.; at ἤ[δη S., quod certum puto, quamvis Є litteram tueatur Sch. — 18 γε...με|ναc A¹; γεγενημέναc Bb.; γινομέναc (γε[ινομ.) S.; γιγνομέναc Cb. — 20 „Hyp.

ἀμελῶϲ, τοῖϲ δὲ ἀνθρώ-[ποιϲ] ἐπι-
μελῶϲ ϲυντελούμενα, καὶ [τ]οὺϲ
(τού)των *οἰκέταϲ ὥϲπερ ἥρωας τι-
μᾶν ἡμᾶϲ ἀναγκαζομένουϲ.
ὅπου δὲ τὰ πρὸϲ θεοὺϲ ὅ-ϲια διὰ
τὴν Μακεδόνων τόλμαν ἀν-
ή(ι)ρηται, τί τὰ πρὸϲ τοὺϲ ἀν-θρώπουϲ (δίκαια)
χρὴ νομίζειν; ἆρ' οὐκ ἂν παν-
τελῶϲ καταλελύϲθαι; ὥϲτε
ὅϲω(ι) δεινότερα τὰ προ(ϲ)-δοκώ-
μεν' ἂν γενέϲθαι κρίνο⟦ι⟧-μεν,
τοϲούτω(ι) μειζόνων ἐπαίνων
τοὺϲ τετελευτηκόταϲ ἀξίουϲ
χρὴ νομίζειν. ο(ὐ)δεμία γὰρ
ϲτρατεία τὴν (τῶν) ϲτρα-τευομένων ἀρε-

τὴν ἐνεφάνιϲεν μᾶλλον τῆϲ νῦν
γεγενημένηϲ, ἐν ἧι *γε πα-ρατάτ-
τεϲθαι μὲν ὁϲημέραι ἀναγ-καῖ-
ον ἦ(ν), πλείουϲ δὲ μάχαϲ ἠγωνίϲ-
θαι διὰ μιᾶϲ ϲτρατ[είας] ἢ τοὺϲ |
ἄλλουϲ πάνταϲ ⟦πληγὰϲ⟧ *ϲυμ- IX (X)
βαίνει ἐν τῶι παρε⟦παρ⟧λη-λυ-
θότι χρόνωι, χειμώνων δ' ὑ-
π]ερβολὰϲ καὶ τῶν καθ' ἡμέ-
ρα]ν ἀναγκαίων ἐνδείαϲ τοϲ-
αύ]ταϲ καὶ τηλικαύταϲ οὕ-τωϲ
ἐγ]κρατῶϲ *ὑπομεμ(ε)νη-κέναι
ὥϲ]τε καὶ τῶι λόγωι χαλεπὸν

---

schrieb νεώϲ" S. — 22 sq. rest. S. Cb. — 23 οικηταϲ A¹. — 24 ἡμᾶϲ ἀναγκ. del. M. Cp. — 25 πρὸϲ τοὺϲ θεοὺϲ Cb. — δίκαια post ἀνθρώπουϲ add. F. — 28 οὐ κἂν K. — 31 κρίνομεν K. Cb., probante S. p. 59. — 35 τῶν iam Bb. add. ci. — 37 τε A¹; em. Bb. — 39 ἀγωνίζεϲθαι K.² (et ὑπομεμένηκεν ἕκαϲτοϲ ὥϲτε IX, 7).

Col. IX. 1 sq. πληγαϲλαμβανειν A¹, quae verba delet Cb., πληγαϲ dittographiam antecedentis vocabuli πανταϲ putans. Ego in his verbis foedissime corruptis praeterea id quod ad sententiam desideratur (ϲυμβαίνει) latere iudico. Mh., cum probaret ϲυμβαίνει meum, πληγὰϲ in πολίταϲ mutandum censuit; def. traditam lectionem H. (comp. Polyb. I, 15, 2; II, 32, 3). F.: πλείουϲ δὲ πληγὰϲ λαμβάνειν ἐν μάχαιϲ ἠγωνιϲμέναιϲ διὰ μιᾶϲ ϲτρατείαϲ ἢ τοὺϲ ἄλλουϲ κτέ., et deinde v. 7 ὑπομεμενήκαϲιν. — 7 υπερμεμνηκεναι A¹; em. Bb. —

εἶν]αι φράcαι. τὸν δὴ τοιαύτας *κ]αρτερίας — ἀόκνως ὑπομεῖναι τού(c) πολίτας προτρεψάμενον Λεωcθένη — καὶ τοὺc τῶι τοιούτωι cτρατηγῶι προθύμωc cυναγωνιcτὰc cφᾶc αὐτοὺc παραcχόνταc — ἆρ' οὐ [[οὐ]] διὰ τὴν τῆc ἀρετῆc ἀπόδειξιν εὐτυχεῖc μᾶλλον ἢ διὰ τὴν τοῦ ζῆν ἀπόλειψιν ἀτυχεῖc νομιcτέον; οἵ τινεc θνητοῦ cώματοc ἀθά[νατον δόξαν ἐκτήcαντο, καὶ διὰ τὴ[ν ἰδίαν ἀρετὴν τὴν κοινὴν ἐλ[ευθερίαν τοῖc Ἕλληcιν ἐβεβαίωcαν. φέρει γὰρ πᾶcαν εὐδαιμονίαν*** ἄνευ τῆc *αὐτονομίαc. — ο(ὐ) γὰρ ἀνδρὸc ἀπειλήν, ἀλλὰ νόμου φωνὴν κυριεύειν δεῖ τῶν εὐδαιμόνων, οὐδ' αἰτίαν φοβερὰν εἶναι τοῖc ἐλευθέροιc, ἀλλ' ἔλεγχον, οὐδ' ἐπὶ τοῖc κολακεύουcιν τοὺc δυνάcταc καὶ διαβάλλουcιν τού(c) πολίταc τὸ τῶν πολιτῶν ἀcφαλέc, ἀλλ' ἐπὶ τῆι τῶν νόμων πίcτει

---

10 κρ]ατεριαc A[1] habuit. — interpunctio post hoc verbum oscitantis librarii est; debuerat post φράcαι ponere. — 11 πολειταc A[1]. — 12 Λεωcθένη del. K.[2]. — τοιουτω falso ectypum. — 14 huic versui paragraphus supposita; interpunctum ut videtur post cφαc. αυτουc spiritu leni instructum. — 18 (ἀντὶ) θν. c. C. F.; ἀντεκτήcαντο v. 19 Mh. — 20 ἴδιαν A[1]. cf. [Lys.] epit. § 44. — 22 sq. locus graviter corruptus vel mutilatus. φέρε γάρ, τί πᾶcαν εὐδαιμονίαν (23 sicut S.) W.; φέρε γάρ, τίc πᾶcα εὐδαιμονία (23 sicut S.) Schk.; item sed ποία pro τίc πᾶcα Gebauer Lys. p. 228. — 23 ανευτηcαυτονομειναc A[1]. ἄνευ τῆc αὐτοῦ ὁ μείναc Bb. ἄνευ τῆc αὐτονομίαc S. ἀρετῆc αὐτονομία K. ἐν αὐτῇ s. ἐφ' αὐτῆc αὐτονομία M. τί ἄνευ τῆc αὐτονομίαc V. οὐδὲν ante πᾶcαν addunt F. [Cp.] — Quae sequitur sententia laudatur a Stob. Flor. LXXIV, 35: Τοῦ αὐτοῦ (h. e. Ὑπ.). Φοβητέον οὐκ ἀνδρὸc ἀπειλήν, ἀλλὰ νόμου φωνήν; ubi AB addunt etiam: τοῦ αὐτοῦ. Κυριεύειν δεῖ τῶν ἐλευθέρων. — 26 de c littera in fine vs. v. ad XI, 29. — 29 πολειταc A[1]. — πολιτῶν] πολλῶν Cb. —

γενέcθαι. ὑπὲρ ὧν ἁπάντων οὗτοι πό-
νους πόνων διαδόχους ποιούμενοι
καὶ τοῖc καθ' ἡμέραν κινδύνοις τού(c) εἰc
τὸν ἅπαντα χρόνον φόβους τῶν πολιτῶν
καὶ τῶν Ἑλλήνων παραιρούμενοι τὸ
ζῆν ἀνήλωcαν εἰc τὸ τοὺc ἄλλους
καλῶc ζῆν. διὰ [[του]] τούτους πατέρες
ἔνδοξοι, μητέρες περίβλεπ(τ)οι τοῖς
πολίταις γεγόναcι· ἀδελφαὶ γάμων
τῶν προcηκόντων ἐννόμως τετυ-
χήκαcι καὶ τεύξονται· παῖδες ἐ[φό-
διον εἰc τὴν πρὸc τὸν δῆμον ε[ὔνοι-
αν τὴν τῶν οὐκ ἀπ*ολωλότω[ν |
ἀρετήν, οὐ γὰρ θεμιτὸν X (XI)
τούτου τοῦ ὀνόματος τυ-
χεῖν τοὺc οὕτως ὑπὲρ
καλῶν τό(ν) βίον ἐκλιπόν-
τας, ἀλλ[ὰ] τῶν τὸ ζῆν
(ε)ἰc αἰω[νί]αν τάξιν με-
τηλλα[χό]των ἕξουσιν.
εἰ γὰρ[ὁ τοῖ]ς ἄλλοι(c κα)κῶν
*ἀνιαρ[ότ]ατος θάνατος
τούτοις ἀρχηγὸς μεγά-
λων ἀγαθῶν γέγον-
ε, πῶς τούτους ο[ὐ]κ εὐ-
τυχεῖς κρίνειν δίκαιον,
ἢ πῶς ἐκλελοιπέναι
τὸν βίον, ἀλλ' οὐκ ἐξ ἀρ-
χῆς γεγονέναι καλλίω
γένεσιν τῆς πρώτης ὑ-
παρξάσης; — τότε μὲν
γὰρ παῖδες ὄντες ἄφρο-
νες ἦσαν, νῦν δ' ἄνδρες
ἀγαθοὶ γεγόνασιν. καὶ

---

37 διὰ τούτους Bb.; διά τοι τούτους Cb. — 42 εφο|τιον A[1] pr. — πρὸς τοῦ δήμου C. V. — εὐμένειαν Bb. εὔνοιαν Cb. C. Bb.[1] Sch. εὐδοξίαν S. — 43 απωλωλοτω[ν A[1].

Col. X. 6 ϊcαιω ..ωνταξιν A[1], sed alterius ω ductu postremo transfixo, quod primus observavit Sandys. Correctio imperfecta dubiaque mansit; nam nunc ab α tantundem littera abest quantum ab o, quod exstare putat Sandys. Ego αἰωνίαν restitui; εἰc αἰωνίων Sh., εἰc αἰώνιον S. K., εἰc δαιμόνων F., εἰc ἀθανάτων C., καὶ ἡρώων Sp., εἰc ἀμείνω Cb. (ego ed. I). — 8 ὁ τοῖc ἄλλοιc ὢν Cb. (Cp., S., ego edit. I); sed ante ων κ potius fuisse videtur. — 9 ανειη (Bb.) vel ανειρ A[1]. Ανειρ[οτατος fuerit; ἀνιαρότατος Bb.[1] F. Ἀλγεινότατος Cb. (ego ed. I), ἀνέπευκτος S., ἀνήκ[εc]τος Cp., ὁ ἄλλοιc ὢν ἀνίλαστος (hoc cum Cf.) K[2]. Longe aliter C. M. — 12 πῶς cum circumflexo ut videtur A[1]. — οὐκ] υ utrum exciderit an omissum fuerit sicut saepe, incertus sum. — 16 καλ-

τ]ότε μὲν (ἐν) *πολλῶι χρόνωι καὶ διὰ πολλῶν κινδύνων τὴν ἀρετὴν ἀπεδείξαν(το)· — νῦν δ' ἀπὸ ταύτης ἄ(ρ)ξα(c)θαι *** γνωρίμους πᾶcι καὶ μνημο[[νο]]νευτοὺc διὰ ἀνδραγαθίαν γεγονέναι. — τίc (γὰρ) κα(ι)ρὸc ἐν ὧι τῆc τούτων ἀρετῆc οὐ μνημονεύcομεν; τίc τόποc ἐν ὧι ζήλου καὶ τῶν ἐντιμοτάτων ἐπαίνων τυγχάνονταc οὐκ ὀψόμεθα; πότερον — οὐκ ἐν τοῖc τῆ[ς πόλεωc ἀγαθοῖc; ἀλλὰ τ[ὰ διὰ τούτουc γεγονότα τίνας ἄλλουc ἐπαινεῖσθαι καὶ μνήμ[[ν]]ηc τυγχάνειν ποιήcει; ἀλλ' οὐκ ἐν ταῖc ἰδίαιc εὐπραξίαιc; — ἀλλ' ἐν τῆ(ι) τούτων ἀρετῆι βεβαίωc αὐτῶν ἀπολαύcομεν. παρὰ ποία(ι) δὲ τῶν ἡλικιῶν οὐ μακαριcτοὶ | γενήcο[νται; πότερον οὐ πα- XI (XII)
ρὰ τοῖc γ[εραιτέροιc, οἳ ἄφοβον ἄ[ξειν τὸν λοιπὸν

λειω A[1]. — 22 πολλων A[1]; ἐν add. Bb. — 25 ἀπεδείξαντο Cb.; K. κτᾶcθαι εἵμαρτο ἦν post ἀρετὴν inserit. — 26 ταυτηcαξαθην A[1] pr., ταυτηcαξαθαι corr. (ita recte Bb.). ἄρξαcθαι vel ἀξιωθῆναι Bb.: ἀγάμεθα ut sensui satis fiat S.; ἐξαυτῆc K., postea αὐτόθεν idem; δέδοται Bs.; ἀξιοῦμεν C. V.; ἐξῆν Ἀθηναίοιc Cp. — Cum verbum finitum requiratur, Bb. γέγονε. ναί legere voluit, vel etiam simpliciter γέγονεν; postea tamen verbum illud in αξαθαι, damnatis prioribus coniecturis, quaesivit. Ἄρξαcθαι γν. π. — γέγονεν εἶναι W.; ἀπὸ τ. ὑπάρχει εὐθὺc γν. — — γεγονέναι Cb[1]; ἀ. τ. ἐξανθεῖ τὸ γν. — — γεγονέναι Schn. — 29 ανδραγαθι|c·αν A[1]; sed recte Sch. hoc C ad antecedentis columnae vs. 26 ελευθεροι[c trahit. — γὰρ inser. Cb. S. — 33 ἐντειμοτατων A[1]. — 37 τινουc ut vid. A[1] pr., cf. 3, 32. — 38 ἐπαινέcεων T. — 40 ϊδιαιc A[1]. — 41 ἀλλὰ τῇ del. ἐν Cb[1]. — 43 ἀπολαυcόμεθα requirit S., scripsit T. ἀπολαύομεν V.

Col. XI. Universae sententiae satis perspicuae; singula non satis certe restitui possunt. V. 1 sq. πρῶτον μὲν πα|ρὰ τοῖc γ[έρουcιν· οὗτοι γὰρ ἄ]φοβον ἄ[ξουcι τὸν λοιπὸν] βίον κα[τὰ τὴν ἀρτίωc] γεγενη[μένην ἀcφάλειαν] διὰ τούτ[ουc· ἔπειτα παρὰ τοῖc] ἡλικιώταιc Bb. — S.: γενηc. οὗτοι; ἢ π. τ. γεραιτέροιc; ἀλλ' ἄ. ἄ. τ. λ. β. καὶ ἐλάττων τοῦ γήρωc γεγένηται ἡ δυcχέρεια διὰ τούτουc αὐτοῖc. ἢ. π. τ. ἡ.; — F.: γεν. οὗτοι; ἆρ' οὐ π. τ. π[ρεcβυτέροιc; ἀ. ἄ. ἄ. τ. λ. β., καὶ.....

βίον κα[ὶ ἐν ἀϲφαλεῖ ἤδη γεγενῆϲ[θαι ἡγήϲονται διὰ τούτ[ουϲ; ἀλλ' οὐ παρὰ τοῖϲ ἡλικιώτ[αιϲ;............ τελευτὴ φ............. καλῶϲ ω............... παραπο............... αι γέγον[εν; ἀλλ' οὐ παρὰ τοῖϲ νεωτέρο[ιϲ καὶ παιϲίν; ἔπειτα οὐ τὸν[θάνατον ζηλώϲουϲιν αὐτ[ῶν καὶ αὐτοὶ[ϲπουδάϲουϲιν [μιμεῖϲθαι ὡϲ παράδειγμ[α τὸν τούτων βίον, ἀνθ' οὗ τὴν ἀ[ρετὴν καταλελοίπαϲι; οὐκ[οῦν χρὴ εὐδαιμονίζειν αὐ[τοὺϲ ἐπὶ τοϲαύτηι τιμῆ(ι); ἢ τίνε[ϲ ποιηταὶ καὶ φιλόϲοφοι λό[γων καὶ ᾠδῶν εἰϲ τοὺϲ Ἕλλην[αϲ ἀπορήϲουϲι περὶ τῶ[ν π]επραγμένων αὐτοῖϲ; παρὰ τίϲ[ι δ' οὐ μᾶλλον αὕτη τῆϲ Φρυγῶν κ[ρατηϲάϲηϲ ϲτρατείαϲ ἐγ[κωμιαϲθήϲεται; — ποῦ δὲ τῆϲ Ἑλ[λάδοϲ.......... τατοιϲ ε.............. ἅπαϲιν — κ[αὶ λόγοιϲ καὶ ᾠιδαῖϲ ἐπα[ιν.....δι' ἀμφότερα γὰρ ε............. περὶ Λεωϲ[θένουϲ...... καὶ τῶν τ[ελευτηϲάντων

διὰ τούτουϲ. ἢ οὐ π. τ. ἡλ.; ἀλλὰ.....— Cb[1]: ἀφ. διάξουϲι τ. λ. β. κακῶν ἀπαθεῖϲ γεγενημένοι διὰ τούτουϲ. — 7 sqq. K[2]: ἡλ., οἷϲ οὗτοι τελευτήϲαντεϲ οὕτω καλῶϲ ϲυνεβάλοντο εἰϲ τὸ παρὰ πολὺ κουφιϲθῆν|αί γε τὸν ἀγῶνα. — 11 αιγογον A pr. — ἢ παρὰ τοῖϲ] νεωτέροιϲ S. ἢ οὐ π. τ. ν.; ἀλλὰ F. ἢ π. τ. ν. δόξουϲιν; εἶ|τα οὐ τὸν θυμὸν θαυμάϲουϲιν αὐτῶν K[2]. — 14 αὐτοὶ μιμεῖϲθαι ϲπουδάϲουϲιν Bb. καὶ ϲφόδρα ϲπ. μιμ. παράδειγμα γενόμενον K[2]. — 17 οὐ τὴν ἀρετὴν καταλελοίπαϲι; οὐκ ἄξιον ἐγκωμιάζειν αὐτούϲ; Bb. οὐ τ. ἀ. ϲωτήριον πᾶϲι; οὐκ ἐγκ. ἀεὶ χρὴ ὧν οὐ δέδοικα μή τινεϲ ϲυγγραφεῖϲ ϲοφοὶ λόγων ἄλλουϲ τῶν Ἑλλήνων προκρίνωϲι K[2]. ad v. 16 sq. cf. epilogum p. 70. — 20 μητινε addito supra H altero H A[1]. — 24 παρα(π)ε Bb.; παρα(π)ο Cp.; παρα.ϲ S. — 25 Φρυγῶν καὶ τῆϲ ἐπὶ Τροίαν ϲτρατείαϲ S. — 27 δετηϲεϲ Sch. — 29 απαϲιν·κ A[1]. ἅπαϲιν κ.....ᾠ]δαῖϲ ἐπᾴ[δοντεϲ Bb. ἐν ἅπ. καὶ λόγοιϲ καὶ ᾠδαῖϲ ἐπαινεῖν Cb. F., qui χρὴ post λόγοιϲ inseruit. — 30 ϲεμνό]τερα γὰρ ἔ[ξεϲτιν ἡμῖν] περὶ Λεωϲ[θένουϲ εἰπεῖν Bb. ἀγαϲτότερα γ. ἔνεϲτι πολλῷ π. Λ. λέγειν S. ἐπ' ἀμφότερα γ. ἐξέϲται ὑμνεῖν π. Λ. | Cb. δημοτικώτερα γ. ἐϲτι τοῖϲ ποιηταῖϲ π. Λ. ᾄδειν F. ἀμφ. γ. ἐξέϲται ἐντεῦθεν π. Λ. εἰπεῖν Bb.[1] — 33 καὶ τῶν τ[ετελευτηκότων] ἐν τῷ πολ[έμῳ τῷδε. Bb. Bb.[1] — τελευτηϲάντων — πολέμῳ. S. Cb. — τετελ.

ἐν τῶι πολ[έμωι. εἰ μὲν γὰρ ἡδονῆϲ ἕν[εκεν μνημονεύουϲιν τὰϲ τ[οιαύταϲ καρτερίαϲ, τί γέ[νοιτ' ἂν τοῖϲ Ἕλληϲιν ἥδι[ον ἢ ἔπαινοϲ τῶν τὴν ἐλευθερί[αν παραϲκευαϲάντων ἀ[πὸ τῶν Μακεδόνων; εἰ δὲ [ὠφελείαϲ ἕνεκεν ἡ τοια[ύτη μνήμη |

XII (XIII) γί(γ)νεται, τίϲ ἂν λόγοϲ ὠφελήϲειεν μᾶλλον τὰϲ τῶν ἀκου[[ϲ]]όντων ψυχὰϲ τοῦ τὴν ἀρετὴν ἐγκωμιά*ζοντοϲ καὶ τοὺϲ ἀγαθοὺϲ ἄνδραϲ; ἀλλὰ μὴν ὅτι παρ' ἡμῖν καὶ τοῖϲ λο(ι)*ποῖϲ πᾶϲιν εὐδοκιμεῖν αὐτοὺϲ ἀναγκαῖον, — ἐκ τούτων *φανερόν ἐϲτιν· — ἐν Ἅιδου δὲ λογίϲαϲθαι ἄξιον τίνεϲ οἱ τὸν ἡγεμόνα δεξιωϲόμενοι τὸν τούτων. ἆρ' οὐκ ἂν *ο(ἰ)όμεθα (φ)ο(ι)τᾶν Λεωϲθένη δεξιουμένουϲ καὶ θαυμάζονταϲ τῶν [[δὲ]] *ἡμιθέων *καλουμένων τοὺϲ ἐπὶ [[ϲτρα]]-

---

— πολέμῳ. F. — 34 εἰ γὰρ] ἡδονῆϲ ἕν[εκεν ἐπακού]ουϲιν τὰϲ τ[οιαύταϲ καρ]τερίαϲ Bb. εἴτε γὰρ τῆϲ ἡ. ἕ. ἐγκωμιάζουϲι τ. τούτων κ. S. εἰ μὲν γ. ἡ. ἕ. ἐγκωμιάϲουϲιν τ. τηλικαύταϲ κ. Cb. Bb.[1] (ἐγκωμιάζ.) F., qui tamen ὑμνεῖν ἐθέλουϲιν. — 37 τ(ότ)ε [πραχθείϲαϲ τοῖϲ Ἕλ]ληϲιν, ἡ δὲ [γίνεται ἐκ τῶν] τὴν ἐλευθερί[αν διαϲω]ϲάντων ἀ[πὸ τῶν Μακεδό]νων Bb. τί γένοιτ' ἂν τοῖϲ Ἕ. ἥδει[ον S. Cb. Bb.[1] F. (etenim ϲινη·δε A[1].); deinde ἢ τούτων τ. τ. ἐ. πᾶϲι (om. F.) βεβαιωϲάντων ἀκούειν ὑμνουμένων S. F.; ἢ ἔπαινοϲ τ. τ. ἐ. παραϲκευαϲάντων ἀ. τ. Μακ. Cb. Bb.[1], qui tamen διαϲ. retinet. pro παραϲκ. Mh. ἀποκαταϲτηϲάντων. — 41 εἰ δὲ [ὠφελίαϲ ἕνε]κεν, ἡ τοια[ύτη ἐκ τῶν Τρωικῶν Bb. ὠφελείαϲ Cb. F.; deinde S.: ἡ τοιαύτη ϲπουδή; ἡ τοιάδε ἀνάμνηϲιϲ Cb. Bb.[1]; ἡ τοιαύτη μελέτη αὐτοῖϲ F., ἡ τ. μνήμη dubitanter Cb[1].

Col. XII. 1 γειν εται A[1]. — 3 ἀκουόντων S. Cb. K. V. — 5 ἐγκωμιάζ. S. Cb. K.; εγκωμιαϲοντοϲ A[1]. — 7 ημειν A[1]. — λοιποῖϲ Bb., λο|γοιϲ A[1]. — 10 φενερον A[1]. — 14 ωομεθα A[1]; em. Sh. — 15 ὁρᾶν Sh. Bb.; φοιτᾶν Cb. — 17 A[1]: τωνδεηγορμενωνκα (non recte Bb. και) | λ (pars eius litt. superest; non recte Bb. τ)ουμενουϲτουϲεπιϲτρ(α)|τειανϲτραϲαντ.ϲων |. Postrema Bb. expedivit, τοὺϲ ἐπὶ Τροίαν ϲτρατεύϲανταϲ restituens (solus T. τὴν ϲτρατείαν ante ϲτρ. addit); καλουμένουϲ exstare Cb. vidit, qui audacter, sed optima sententia, restituit τῶν ἡμιθέων καλουμένων (cf. Isocr. 4, 84). Nempe μενων istud ex sequenti vocabulo καλουμένων ortum esse, et fortasse etiam ορ, pro quo ου scriptum in codice esse

Τ(ρ)*οίαν ϲτρα(τεύ)ϲαντ[α]ϲ, ὧν οὗτοϲ ἀδελφὰϲ π[ρ]άξειϲ ἐνϲτηϲάμενοϲ τοϲοῦτον δ]ιήνεγκε, ὥϲτε οἱ μὲν μετὰ πάϲηϲ τῆϲ Ἑλλάδοϲ μ]ίαν πόλιν εἷλον, ὁ δὲ μ]ετὰ τῆϲ ἑαυτοῦ πατρίδοϲ μόνηϲ πᾶϲαν τ]ὴν τῆϲ Εὐρώπηϲ καὶ τ]ῆϲ Ἀϲίαϲ ἄρχουϲαν δύν]αμιν ἐταπείνωϲεν. κ]ἀκεῖνοι μὲν ἕνεκα μ]ιᾶϲ γυναικὸϲ ὑβριϲθείϲ]ηϲ ἤμυναν, ὁ δὲ παϲ]ῶν τῶν Ἑλληνίδων τ]ὰϲ ἐπιφερομέναϲ ὕ]βρειϲ ἐκώλυϲεν μετὰ] τῶν ϲυνθαπτομένων ν]ῦν αὐτῶι ἀνδρῶν, τ]ῶν μετ' ἐκείνουϲ μὲν γ]εγεν[ν]ημένων, ἄξια δ]ὲ τῆϲ ἐκείνων ἀρετ]ῆϲ διαπεπραγμένων. λ]έγω δὴ (καὶ) τοὺϲ περὶ Μιλτ]ιάδην καὶ Θεμιϲτ]οκλέα καὶ τοὺϲ ἄλ- | λουϲ, οἳ τὴν Ἑλλάδ[α XIII (XIV)

ἐλευθερώϲαντεϲ ἔντιμον μὲν τὴν πατρίδα κατέϲτηϲαν, ἔνδοξον (δὲ) τὸν αὐτῶν βίον ἐποίηϲαν, ὧν οὗτοϲ τοσ-

---

posse [hoc tamen verum non est]; ipsum καλουμένων e proximo τοὺϲ alienam formam traxisse. Τῶν ἡρώων καλουμένων F. (cf. Is. 9, 65); τῶν διηγουμένων τοὺϲ ἡμιθέουϲ καλουμένουϲ Bb.[1]; τῶν πεπραγμένων (τοὺϲ ἥρωαϲ) καλ—ουϲ Cp. — 22 sqq. cf. Isocr. 4, 83; 9, 65. — 29 ν in fine versus deletum videtur. — 37 post ἀνδρ. plene interpungunt S. p. 59, C. K. F.; post διαπεπρ. v. 41 Cb. Cp. — S. K.[1] post τῶν v. 38 addunt δὲ; ὧν XIII, 6 del. K.; τούτων pro ὧν K.[1]; ibd. ante ὧν add. ποία ἔντευξιϲ Λεωϲθένει ἔϲται K[2]. — Cb. ante τῶν plura excidisse statuit, in hunc ferme modum: (οἵ τινεϲ τὰϲ ἀρετὰϲ ἐζήλωϲαν τῶν πάλαι ἐνθάδε κειμένων ἀνδρῶν), τῶν κτέ. — F. et ipse excidisse quaedam conicit, sed novum enuntiatum ab eis incipit; similiter Schk. — Mihi periodus claudicare videtur, si terminetur in vocabulo ἀνδρῶν; sed istud ϲυνθ. ἀνδρ. τῶν κτέ. non cum Cp. ad Miltiadem ceterosque, sed ad eos qui Lamiaco bello caesi sunt refero. Porro λέγω δή est „nomino deinde etiam e. q. s., idemque de eis dico quod de Troicis heroibus dixi"; quare καὶ addere melius visum est. (Sensu simili D. ἐρῶ, Cf. ὁρῶ proposuerunt). — 39 γεγεννημενουϲ A[1] pr.; γεγεννημενων corr. — 42 λ]έγω Cb. C. S. K. — 43 μιλ|ταδην A[1] sec. Bb.; sed quae videbatur superior T litterae linea paragraphus est. post α interpunctum videtur.

Col. XIII. 3 εντειμον A[1]. — 5 δὲ add. Bb. —

οὗτον ὑπερέϲχεν ἀνδρείαι καὶ φρονήϲει, ὅϲον οἱ μὲν ἐπελθοῦϲαν τὴ(ν) τῶν βαρβάρων δύναμιν ἠμύναντο, — ὁ δὲ μ[ηδ' ἐπελθεῖν ἐποίηϲεν. κἀκεῖνοι μὲν ἐν τῆι οἰκ(ε)ίαι τοὺϲ ἐχθ(ρ)οὺϲ ἐπεῖδον ἀγωνιζομένουϲ, οὗτοϲ δὲ ἐν τῆι τῶν ἐχθρῶν περιεγένετο τῶν ἀντιπάλων. — οἶμαι δὲ καὶ (τοὺϲ) τὴν πρὸϲ ἀλλήλουϲ φιλίαν τῶι δήμωι βεβαιότατα ἐνδειξαμένουϲ, λέγω δὲ Ἁρμόδιον καὶ Ἀριϲτογείτονα, *οὐδέναϲ οὕτωϲ αὐτοῖϲ οἰκείο(υϲ οὐδὲ πιϲτο)τέρουϲ ὑμῖν εἶναι νομίζειν ὡϲ Λεωσθέ(ν)η καὶ τοὺϲ ἐκείνωι ϲυναγωνιϲαμένουϲ, οὐδ' ἔϲτιν οἷϲ ἂν μᾶλλον ἢ τούτοιϲ πληϲιάϲειαν ἐν *Ἅ(ι)δου. εἰκότωϲ· οὐκ ἐλάττω γὰρ ἐκείνων ἔργα διεπράξαντο, ἀλλ' εἰ δέον εἰπεῖν, καὶ μείζω[[ν]]. οἱ μὲν γὰρ τοὺ[ϲ τῆϲ πατρίδοϲ τυράννουϲ [κατέλυϲαν, οὗτοι δὲ τοὺϲ τῆϲ Ἑλλάδοϲ ἁπάϲηϲ. ὦ καλῆϲ μὲν καὶ παραδόξου τόλμηϲ τῆϲ πραχθείϲηϲ ὑπὸ τῶνδε τῶν ἀνδρῶν, ἐνδόξου δὲ καὶ μεγαλοπρεποῦϲ προαιρέϲεωϲ ἧϲ προ[[ϲ]]είλοντο, — ὑπερβαλλούϲηϲ δὲ ἀρετῆϲ καὶ ἀνδραγαθίαϲ τῆϲ ἐν τοῖϲ κινδύνοιϲ, ἣν οὗτοι παραϲχόμενοι εἰϲ τὴν κοινὴν ἐλευθερίαν τῶν Ἑλλήνων |

---

16 post τῇ interpunctum. — 18 τοὺϲ add. Bb. — τὴν προϲήκουϲαν φιλ. M. — 22 αριϲτογειδονα A[1] pr. — ουθενουϲουτω(ϲ)|αυτοιϲοικειοτερουϲυμειν|ειναι A[1]. οὐδ' ἐκείνουϲ οὕτωϲ αὐτοῖϲ οἰκείουϲ ἢ ὑμῖν εἶναι Bb. Cp., qui tamen pro ἢ ὑμ. scribit τοὺϲ ἄλλουϲ, et K., qui οἰκ. ἑταίρουϲ. οὐδέναϲ οὕτωϲ αὐτοῖϲ Cb. S. F.; deinde S. οἰκείουϲ ἂν εἶναι, F. οἰκείουϲ καὶ ἑταίρουϲ ὑμῖν εἶναι. οὐδ' ἑαυτοὺϲ οὕτωϲ οἰκείουϲ ὑμῖν εἶναι T. οὐκ εὔνουϲ οὕτωϲ αὐτοῖϲ ἢ οἰκειοτέρουϲ ὑμ. εἶναι (δεῖν?) νομ. C. οὐδέναϲ οὕτωϲ αὐτ. οἰκείουϲ ἢ οἰκειοτέρουϲ ὑμῖν εἶναι Sp. atque alii alia. — 25 θεηκαι A[1] corr., θε..αι pr. — 26 ουδεϲτι|νοιϲ in A[1] esse ante me vidit Sh. Errores reliquorum coniecturasque tacere nunc praestat. — 28 ατου A[1]. — 31 μειζω fort. A[1] corr. — 43 ἐλευθ. [τὴν Bb.; ἐλ. | τῶν Cb. — ut extremus, ita hic quoque versus iusto brevior fuerit.

[Χαλεπὸν μὲν ἴcωc ἐcτὶ τοὺc ἐν τοῖc τοιούτοιc ὄντας πάθεcι παραμυθεῖcθαι· τὰ γὰρ πένθη οὔτε λόγῳ οὔτε νόμῳ κοιμίζεται, ἀλλ' ἡ φύcιc ἑκάcτου καὶ φιλία πρὸc τὸν τελευτήcαντα (τὸν) ὁριcμὸν ἔχει τοῦ λυπεῖcθαι. ὅμωc δὲ χρὴ θαρρεῖν καὶ τῆc λύπηc παραιρεῖν εἰc τὸ ἐνδεχόμενον, καὶ μεμνῆcθαι μὴ μόνον τοῦ θανάτου τῶν τετελευτηκότων, ἀλλὰ καὶ τῆc ἀρετῆc ἧc καταλελοίπαcιν. εἰ γὰρ θρήνων ἄξια πεπόνθαcιν, ἀλλ' ἐπαίνων μεγάλων πεποιήκαcιν. εἰ δὲ γήρωc θνητοῦ μὴ μετέcχον, ἀλλ' εὐδοξίαν ἀγήρατον εἰλήφαcιν εὐδαίμονέc τε γεγόναcι κατὰ πάντα. ὅcοι μὲν γὰρ αὐτῶν ἄπαιδεc τετελευτήκαcιν, οἱ παρὰ τῶν Ἑλλήνων ἔπαινοι παῖδεc αὐτῶν ἀθάνατοι ἔcονται. ὅcοι δὲ παῖδαc καταλελοίπαcιν, ἡ τῆc πατρίδοc εὔνοια ἐπίτροποc αὐτοῖc τῶν παίδων καταcτήcεται. πρὸc δὲ τούτοιc, εἰ μέν ἐcτι τὸ ἀποθανεῖν ὅμοιον τῷ μὴ γενέcθαι,

---

Exstant praeterea duo parvula huius voluminis fragmenta, quibus certus locus assignari nequit, nisi quod genere chartae indicatur alterum eorum aut ad col. XI pertinuisse aut ad aliquam quae post XIII. sequebatur. Id frg. ex omnibus partibus mutilatum has litteras habet: αλλο | πολλ | γεν. Alterum frg., quod postmodo inventum nequedum ap. Babingtonem exhibitum est, haec praebet: ..π. | ιερ. | ..γε | ...ρ. Margo ne in hoc quidem frg. usquam exstat.

Accedit epilogi magna pars a Stob. Flor. 124, 36 servata, ubi lemma Ὑπερίδου praefixum est. — πάθεcι] πένθεcι Mh. — τὸν ὁριcμὸν S., ὁρ. libri. — τῆc ἀρ. ⟨ἧc ἀποδεδείχαcι καὶ τῆc δόξηc⟩ ἧc Mh. — εἰ γὰρ θρ. Leopardi (Rh. M. 1835 p. 11): οὐ γὰρ θρ. — ὥcπερ ὑπολ. εἶναι, τοὺc ταῖc κτέ. AB.; ceteri codd. ὥ. ὑ. εἴη τ. τ. Hinc S. ὑπ., εἴη ἂν effecit; Cb. post Toupium (ad Long. π. ὕ. c. 34; admonuit Bb.) ὑπ., εἰκόc. — Postea AB. πλ. ἐπιμελείαc; idemque Append. flor. p. 79 (addito καὶ post ἐπιμ.) et Maximus Conf. p. 250 Combéf. 199 turic., ubi extrema verba inde ab εἰ δ' ἐcτὶν pariter leguntur; reliqui libri πλ. εὐδαιμονίαc, unde Ruhnkenius (S., Cb.) κηδεμονίαc effecit. Bakhuizen van den Brink ita legit: ὑπ. εἶναι, τοὺc — βοηθ. καλλίcτηc εἰκὸc μοίραc ὑπὸ τ. δ. τυγχ. — δαιμονίου] δαίμονοc AB.

Praeterea S. ad hanc orationem duo frg. refert, alterum exstans ap. Polluc. II, 14: Ὑ. δὲ τὸν ἀγήρατον χρόνον, Cοφοκλῆc δὲ τὸν ἀγήρω (sc. εἴρηκεν), et hoc quidem satis pro-

ἀπηλλαγμένοι εἰϲὶ νόϲων καὶ λύπηϲ καὶ τῶν ἄλλων τῶν προϲπιπτόντων εἰϲ τὸν ἀνθρώπινον βίον· εἰ δ' ἔϲτιν αἴϲθηϲιϲ ἐν Ἅιδου καὶ ἐπιμέλεια παρὰ τοῦ δαιμονίου, ὥϲπερ ὑπολαμβάνομεν, εἰκὸϲ τοὺϲ ταῖϲ τιμαῖϲ τῶν θεῶν καταλυομέναιϲ βοηθήϲανταϲ πλείϲτηϲ κηδεμονίαϲ ὑπὸ τοῦ δαιμονίου τυγχάνειν.] — — —

babiliter. Alterum in excerptis e Dexippo (p. 32 ed. Niebuhr) e Vaticanae bibliothecae schedis extractis legitur; sed ut Babingto demonstravit (Classical journal vol. I p. 408), nihil ad epitaphium pertinet, sed pariter ac sex alia frg. una inventa ad orationem quandam κατ' Ἀντιπάτρου. Concedit ipse S. (Philol. Suppl. I p. 55 sq.), addens Dexippi ipsius fragmenta esse, qui fecerit Hyperidem suadentem, Phocionem dissuadentem bellum.



FRAGMENTA.

I I. II. ΚΑΤ᾽ ΑΘΗΝΟΓΕΝΟΥϹ

λόγοι β΄.

Cf. Longin. π. ὕψ. 34, 3.

1. *Ὁ μὲν τοίνυν νόμος κελεύει ἀψευδεῖν ἐν τῇ ἀγορᾷ.* — Harp. s. v. κατὰ τὴν ἀγορὰν ἀψευδεῖν, qui ad primam orationem refert.

2. *Βουλεύσεως* — — Ὑπ. δ᾽ ἐν τῷ κατ᾽ Ἀθηνογένους α΄ ἐπὶ ἐνέδρας καὶ ἐπιβουλῆς τῆς εἰς χρήματα ἰδίως κέχρηται τῷ ὀνόματι. — Harpocr.

3. *Τὰ τῶν φωρῶν κρείττω·* Ὑπ. ἐν τῷ κατ᾽ Ἀθ. β΄. παροιμία ἐστὶ λεγομένη κατὰ τῶν πλείω φερομένων ὧν ἠδίκησαν. — Harp. et Mich. Apost. prov. cent. 18, 11.

4. *Ἀπρόσκλητον* τὴν οὐ προσκεκλημένην Ὑ. ἐν τῷ κατ᾽ Ἀθ. β΄. Harp.

5. *Ἀλλὰ ὁμόσε βούλομαι τῷ λόγῳ τούτῳ ἐλθεῖν.* — Harp. v. ὁμόσε ἰέναι et frg. lex. Cantabrig. p. 674 not. 1. (Ὑ. ἐν τῷ κατ᾽ Ἀθ.)

---

3. Sauppius Bernhardyum secutus: „plura quam pro commissis et malefactis, h. e. non ex merito“; sed malim ita accipere: „furum potior est causa“ (Maussac.); „plura quam ei quos iniuria affecerunt“. — φωρῶν Kiessling: φώρων O, φόρων cett. — πλεῖον δὲ AB, πλείω δὲ C; φερομένοις A, φερόμενοι B; κατὰ τῶν om. ABC. Fuit fortasse: ἐπὶ (ita Dind. ci.) τῶν ἠδικηκότων μέν, πλεῖον δὲ κτέ. — 5 addit Harp.: ἀντὶ τοῦ παραβαλέσθαι. λέγεται δὲ ἐκ μεταφορᾶς τοῦ ὁμόσε ταῖς λόγχαις ἰέναι, ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ

6. *Ποδοστράβη*· Ὑπ. ἔν τε τῷ κατ' Ἀθην. καὶ ἐν τῷ κατ' Αὐτοκλέους. — Harpocr.

III. ΥΠΕΡ ΑΚΑΔΗΜΟΥ. II

7. *Ἡφαιστία* (oppidum Lemni). Ὑ. ἐν τῷ ὑπὲρ Ἀκαδήμου. — Harpocr.

IV. ΚΑΤ' ΑΝΤΙΟΥ ΟΡΦΑΝΙΚΟΣ. III

8. *Ἀσήμαντα* τὰ ὑφ' ἡμῶν λεγόμενα ἀσφράγιστα· — Ὑπ. ἐν τῷ κατ' Ἀντίου. — Harp.

9. Ὑπερείδης δ' ἐν τῷ κατ' Ἀντίου τὰ ἐν ταῖς βασάνοις εἰρημένα ὑπὸ τῶν βασανιζομένων καὶ ἀναγραφέντα *βασάνους* ὠνόμασε. — Harp. s. v. βάσανος.

10. *Σεσημασμένων* ἀντὶ τοῦ ἐσφραγισμένων Δημοσθένης ἐν τῷ περὶ τοῦ ὀνόματος, Ὑπερείδης ἐν τῷ κατ' Ἀντίου ὀρφανικῷ. — Harp.

11. *Ὑποστήσας* ἀντὶ τοῦ ὑποβαλόμενος Ὑπ. ἐν τῷ κατ' Ἀντίου. — Harp.

V. ΠΡΟΣ ΑΠΕΛΛΑΙΟΝ ΠΕΡΙ ΤΟΥ ΘΗΣΑΥΡΟΥ. IV

12. *Κολωνέτας*· Ὑπ. ἐν τῷ πρὸς Ἀπ. π. τ. θησαυροῦ. τοὺς μισθωτοὺς Κολωνέτας ὠνόμαζον. — — Harp.; cf. Pollux VII § 132.

13. *Κτησίου Διός*· Ὑ. ἐν τῷ πρὸς Ἀπ. — Harp.

14. *Ἐξέδωκε τὴν προγονὸν τὴν αὐτοῦ.* — Pollux III, 27 (ἐν τῷ πρὸς Ἀπ. π. τ. θησ.).

15. *Πυθαέα*· Ὑπερ. ἐν τῷ πρὸς Ἀπελλαῖον. — Harp.

ἔρχεσθαι καὶ μὴ στρέφεσθαι μηδὲ φεύγειν. — 6 expl. Harp.: ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. — 9 ἀναγραφέντα Bk. ex N: ἀναγραφομένων. — 10 σεσημασμένῳ et ἐσφραγισμένῳ codd. praeter N, qui σεσ—ην et ἐσφ—ην; genetivum e Demosthene § 17 S. restituit. — 12 Κολωναίτας codd. Harp. praeter epitom., quae Κολωνέτας (S. Dd.). Κολωνίτας cum Poll. Westermann hist. eloqu. gr. p. 307. — ἀπαλλαῖον C. ἀπαλλαῖον B. — 13 ἀπαλαῖον BC. — 15 Πυθαεία A Ald., πυθακία B, Πυθία ἑορτὴ τοῦ Πυθίου Ἀπόλλωνος

16. *Πώλας* ἀντὶ τοῦ πράϲειϲ Ὑπ. ἐν τῷ πρὸϲ Ἀπ. — Harp.

v VI. VII. ΚΑΤ' ΑΡΙϹΤΑΓΟΡΑϹ ΑΠΡΟϹΤΑϹΙΟΥ

λόγοι β'.

17. *Ὥστε Λαῒς μὲν ἡ δοκοῦσα τῶν πώποτε διενηνοχέναι τὴν ὄψιν καὶ Ὤκιμον καὶ Μετάνειρα.* — Ath. XIII p. 587 C. (ἐν τῷ κατ' Ἀρ. β'), cf. 588 C.

18. Ὅτι χιλίαϲ ἐζημιοῦντο αἱ κατὰ τὰϲ ὁδοὺϲ ἀκοϲμοῦϲαι γυναῖκεϲ Ὑ. ἐν τῷ κατ' Ἀρ. β' εἴρηκεν. — Harp.

19. *Ἀπροστασίου* εἶδοϲ δίκηϲ κατὰ τῶν προϲτάτην μὴ νεμόντων μετοίκων — — Ὑ. ἐν τῷ κατ' Ἀρ. ἀπρ. β'. — Harpocr.

20. — — Ὑπερείδηϲ δ' ἐν τῷ κατ' Ἀριϲταγόραϲ ἀπροϲταϲίου β' φηϲὶν ὡϲ οἱ νόμοι κελεύουϲι διαμαρτυρεῖν ἐπὶ ταῖϲ γραφαῖϲ ταῖϲ τοῦ ἀπροϲταϲίου τὸν βουλόμενον ὁμοίωϲ τῶν ξένων καὶ τῶν ἐπιχωρίων. — Harp. s. v. διαμαρτυρία.

21. Τίνων δ' οὐκ ἐξῆν τοῖϲ νόθοιϲ μετέχειν, δεδήλωκεν Ὑπ. τε ἐν τῷ κατ' Ἀρ. β'. — Harp. s. v. νοθεῖα.

22. *Πωληταὶ* καὶ πωλητήριον. οἱ μὲν πωληταὶ ἀρχή τίϲ ἐϲτιν Ἀθήνηϲι — Ὑπ. ἐν τῷ κατ' Ἀρ. β'. — Harp.

---

epitome. Πυθαιέα Westerm., Πυθαέα Kiessling Sauppe. Pergit Harp.: ἄπορον πῶϲ ἀπὸ (ἐπὶ ci. S.) τούτου ἐϲχημάτιϲται παρὰ τῷ Διδύμῳ· καὶ γὰρ οὐ δι' ὧν παρέθετο ὁ γραμματικὸϲ ὠνόμαϲε (Hyper.) τὰ Πύθια ἑορτήν, ἀλλὰ τὸν Πύθιον Ἀπόλλωνα. Cf. de Apolline Πυθαεῖ Pausan. 2, 35, 2. 36, 5. 3, 10, 8. 11, 9 aliosque auctores quos congessit S. Festum Apollinis, quocum cognomen dei Didymus confundit, Πυθαεῖα (recentiore orthographia Πυθαῆα) dictum fuit, v. S. — 16 ἀπαλλαῖον BC. — 17 Μετάνειρα Schweighäuser; Μ—αν libri. — 18 ἀριϲταγόρου Ald. — 19 ἀριϲταγόρα F, ἀριϲταγόρου AB Ald. — 20 ἀριϲταγόρου ABI Ald., ἀριϲτογόνου N. — ἀποϲταϲίου B. — δευτέρῳ Ald., δευτέρου I, om. ABN. — 21 ἀριϲταγόρου PQ Ald. — 22 huc retulit S. Suidae et Photii glossam: πωλητήριον· τὸ πρατήριον. οὕτωϲ Ὑπερίδηϲ, contra Kiessling

23. *Φαλάγγια.* Ὑπ. ἐν τῷ κατ' Ἀρ. β', ὅτι τῶν δακετῶν τι ζῷόν ἐστι τὸ φαλάγγιον. — Harp.

24. *Ἐπεὶ καὶ ὁ τῆς δωροξενίας νόμος ἁρμόττων ἐστὶ τῷ νῦν ἀγῶνι παραχθῆναι· εἰ γὰρ καὶ τοὺς ἀποφυγόντας ξενίας εἴρηκεν ἐξεῖναι τῷ βουλομένῳ πάλιν γράψασθαι, ἐὰν μὴ δοκῶσι δικαίως τὸ πρῶτον ἀποπεφευγέναι, πῶς οὐ φανερόν ἐστι κατ' Ἀριστανόρας τὸ δίκαιον;* — Harp. s. v. δωροξενία (Ὑπ. ἐν τῷ κατ' Ἀρισταγ.).

25. *Ὥστε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα καὶ τοὺς παρεχομένους (μὴ) μάτην ἀπατᾶν ὑμᾶς, (ἀλλ' ἀποδεικνύναι ὅτι) τυγχάνουσι δικαιότερα λέγοντες· καὶ νόμον ὑμῖν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην.* — Suid. s. v. νέμειν προστάτην, sine orationis nomine; sed cf. Harp. s. v. προστάτης· Ὑ. ἐν τῷ κατ' Ἀρισταγόρας.

26. Ὁμοίως τὸν καλούμενον τόπον παρὰ τοῖς παλαιοῖς ἔστιν εὑρεῖν· καθάπερ τὸ Δημοσθενικὸν ἐν τῷ ὑπὲρ τοῦ στεφάνου· — — καὶ Ὑπερείδου κατὰ τῶν ἑταιρῶν ἐν τῷ κατὰ Ἀρισταγόρας. — Theon prog. I p. 162 W.

27. *Ἀφαίρεσις* ἰδίως λέγεται ἡ εἰς ἐλευθερίαν· 28
Ὑ. ἐν τῷ κατ' Ἀρ. — Harp. cf. B. A. p. 468.

28. *Καὶ πάλιν τὰς Ἀφύας καλουμένας τὸν αὐ-* 29
τὸν τρόπον ἐκαλέσατε. Ath. XIII p. 586 A (ἐν

---

ad orationem adv. Apellaeum. — 23 bene comparavit S. Xen. comm. Socr. 1, 3, 12, quem locum etiam Harp. affert. — 24 in lemmate ἀρισταγόρου plerique. ἐστὶ] ἐπὶ A. — ξενίας om. C. — εἴρηκεν] ἕνεκεν BC. — δικαίως om. C. — 25 huc rettulit Meier (de bonis damn. p. 40). μὴ μάτην Coraes; μάτην ἀπατᾶν (ἀπαντᾶν V.) ὑμᾶς μὴ libri. Κολαστέον et προελομένους μάτην Bernhardy. — τυγχάνωσι libri; ἐὰν μὴ τυγχ. S.; ὑμᾶς, ἀλλ', ἣν τυγχ. δ. λ., νόμον Coraes. — δικαιότερα A, σκαιότερα reliqui. — ὑμῖν Coraes, ἡμῖν libri. — τὸν om. V. — 26 Ἀρισταγόρας Schefferus: ἀρισταγόρου libri. — 27 ἀρισταγόρου A Ald., ἀριστογείτονος BF. — 28 ἀρισταγόρου ap. Harp. BF Ald. Expl. ex Apollodoro Athen.: Σταγόνιον καὶ Ἀνθὶς ἀδελφαί. αὗται Ἀφύαι ἐκα-

τῷ κατὰ Ἀρ.); cf. Harp. s. v. ἀφύας (Ὑ. κατ' Ἀρ.) et B. A. p. 473.

30 29. *Κακολογεῖν* Ὑπ. κατὰ Ἀριϲταγόραϲ. — Antiattic. in B. A. p. 102.

31 30. *Μετοίκιον*· Ὑπ. ἐν τῷ κατὰ Ἀριϲταγόραϲ. — Harpocr.

Praeterea ad hanc orationem Westermannus etiam frg. inc. 207 rettulit.

VI VIII. ΠΡΟϹ ΑΡΙϹΤΟΓΕΙΤΟΝΑ.

Cf. Vit. X orat. p. 849 A.

32 31. 32. *Quid a me saepius his verbis de meo officio requiris? Scripsisti, ut servis libertas daretur? Scripsi; ne liberi servitutem experirentur. Scripsisti, ut exules restituerentur? Scripsi; ut ne quis exsilio afficeretur. Leges igitur, quae prohibebant haec, nonne legebas? Non poteram; propterea quod literis earum arma Macedonum opposita officiebant.* — Rutil. L. I, 19 (item eiusdem, sc. Hyperidis). — Graeca verba e veterum locis magnam partem restituere possumus. — — *Ἔγραψας τοὺς δούλους ἐλευθέρους εἶναι; ἔγραψα, ἵνα μὴ οἱ ἐλεύθεροι δου-*

λοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖϲαι τοὺϲ ὀφθαλμοὺϲ μεγάλουϲ εἶχον. — 29 ἀριϲταγόρου cod. — 30 ἀριϲταγόρου AB Ald. — 32 *meo* Steph.: *medio* libri. — *officio*] *iudicio* errore S. — *daretur* Stephanus; *detur* libri. — *scripsi* bis Ruhnk.; libri ubique *scripsisti*. — *nonne legebas* Ruhnk.: *non neglegebas* libri; *neglegebas* S., qui deinde *non poteram aliter* scribit; quo recepto *nonne negl.* Halm. — *officiebant* Ruhnk.: *obsistebant* libri. — Anonym. π. ἀποκρ.: ἐρωτηθεὶϲ εἰ ἔγραψε (ἔγραφε cod.) τοὺϲ δ. ἐλ. εἶναι, ἔφη· ἵνα κτέ. — ἵνα μὴ ἡμεῖϲ δουλεύϲωμεν Gregorius. — E proximis locis patet Rutilium quaedam omisisse, quibus orator de capite deminutis dixerat. Primo loco anonym.: Ὑ. γράψαϲ — τοὺϲ ἀτίμουϲ ἐπ. εἶναι — — ὅπωϲ ἂν κτέ. Ἅπαντεϲ ex oratione c. Arist. ascivi. — Biograph. X orat.: αἰτιωμένων δέ τινων αὐτὸν ὡϲ παριδόντα πολλοὺϲ νόμουϲ ἐν τῷ ψηφίϲματι· ἐπεϲκ., ἔφη, μοι τὰ Μ. ὅπλα· καὶ (ita Photius, om. καὶ libri) Οὐκ ἐγὼ κτέ. (— ὅπλα, οὐδ' ἐγὼ nunc cum Westerm. S.). —

λεύωσιν (cf. Anonym. π. ἀποκρ. Sp. Rh. Gr. I p. 168; Gregor. Corinth. ad Hermog. VII p. 1204 W.). — — *ἔγραψας τοὺς ἀτίμους ἐπιτίμους εἶναι; ἔγραψα, ὅπως [ἂν] ὁμονοήσαντες (ἅπαντες) ὑπὲρ τῆς πατρίδος ἀγωνίσαιντο.* (cf. Anon. ad Hermog. IV p. 707; add. eund. VII p. 782 et IX p. 481; [Dem.] c. Aristog. II, 11). — — *ἐπεσκότει μοι τὰ Μακεδόνων ὅπλα.* (Vitae X orat. p. 849 A.) — (32) *Οὐκ ἐγὼ τὸ ψήφισμα ἔγραψα, ἡ δ' ἐν Χαιρωνείᾳ μάχη* (ibid.). *Τοῦτο τὸ ψήφισμα οὐχ ὁ ῥήτωρ ἔγραψεν, ἀλλ' ἡ ἐν Χαιρωνείᾳ μάχη* (Longin. π. ὕψ. XV, 10).

33. Ὑπερ. ἐν τῷ πρὸς Ἀρ.· *ὅπως πρῶτον μὲν* 33
μυριάδας πλείους ἢ δεκαπέντε τοὺς (δούλους τοὺς) ἐκ τῶν ἔργων τῶν ἀργυρείων καὶ τοὺς κατὰ τὴν ἄλλην χώραν, ἔπειτα τοὺς ὀφείλοντας τῷ δημοσίῳ καὶ τοὺς ἀπεψηφισμένους καὶ τοὺς μετοίκους. — Suid. 1, 1 p. 562, 14.

34. *Καὶ οὐδὲ ἐκ τῆς παροιμίας δύνασαι μαν-* 34
θάνειν τὸ μὴ κινεῖν κακὸν εὖ κείμενον. — Schol. Plat. p. 382 Bk.

35. *Καὶ ἔφασαν ἐν Οἰνόῃ ἀκοῦσαι ὅτι μάχη* 35
εἴη γεγονυῖα. — Harpocr. s. v. *Οἰνόη.*

36. *Καὶ τὰ χρήματα τά τε ἱερὰ καὶ τὰ ὅσια.* 36
— Harp. s. v. ὅϲιον.

*37. Καὶ Δημοϲθένηϲ δὲ μᾶλλον (sc. ἐξείργαϲται) 37
Ὑπερείδου τὴν γεγενημένην Ἀθηναίοιϲ ταραχήν, ὅτε ἧκεν ἑϲπέραϲ ἀγγέλλων τιϲ ὡϲ τοὺϲ πρυτάνειϲ ὡϲ ἡ Ἐλάτεια κατείληπται. — Theon progymn. W. I p. 167.

*37a. Cὺ δὲ ὦ Οὐλπιανὲ εἰ τὴν γαλεάγραν 262
ζητεῖϲ, ἔχειϲ παρ' Ὑπ. τῷ ῥήτορι· ὅπου δέ, ϲὺ ζήτει. Athen. XIV p. 616 C. ἐκ δὲ τῶν ϲκευῶν καὶ γα-

---

33 ὅπωϲ] οὕτωϲ Bernhardy; λόγῳ ci. S., qui praeterea et δούλουϲ deesse vidit et πρῶτον μὲν post δεκαπέντε transponere vult. — μετοίκουϲ Schmidt: ἀποίκουϲ libri. — 35 καὶ om. B. — ἐν Οἰνέῃ A Ald., ἐν οἰναίῃ BC. — 36 καὶ χρήμ. D. — καὶ ὅϲια BC. — 37 huc rettulit Kiessl. — 37a praeter me (Att. Ber. III, 1, 59) et Bb. etiam v. Wila-

λεάγρα· τὸ δὲ ὄνομα ἐν τοῖς ἐπιγραφομένοις Δημοσθένους (dicendum erat τῷ ἐπιγραφομένῳ Ὑπερείδου) πρὸς Ἀριστογείτονα. Poll. X, 155.

38 38. *Εὐρυσάκειον* (Eurysacis fanum Athenis). Ὑπ. ἐν τῷ πρὸς Ἀρ. — Harpocr.

39 39. *Κεκροπίς* (tribus). Ὑπ. ἐν τῷ πρὸς Ἀρ. — Harpocr.

40 40. *Ναύκληρος*· — ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς ὁ αὐτὸς ῥήτωρ δηλοῖ ἐν τῷ πρὸς Ἀρ. — Harp. et lex. Cantabr. p. 673.

41 41. *Οἰνῆς* (tribus). Ὑπ. ἐν τῷ πρὸς Ἀριστ. — Harpocr.

43 *42. *Ὀρθῆς δὲ τῆς πόλεως οὔσης ἐπὶ τούτοις* ἀντὶ τοῦ κεκινημένης καὶ πεφοβημένης Ὑπ. φησίν. Phot. lex. p. 346 et Bachmanni anecd. p. 320, 12. Cf. frg. 35 et 37.

Praeterea huc retulit Sauppius frg. quod exstat ap. Rutil. L. II, 2 (v. frg. inc. 214); Bb. locum a Rutil. II, 12 non addito auctoris nomine allatum in hac oratione exstitisse putat: *nam disputandi aut suadendi est aliud idoneum tempus; cum quidem adversarius armatus praesto est, resistendum est huic non verbis sed armis* (cf. Quint. IX, 3, 75).

VII IX. ΚΑΤΑ ΑΡΙΣΤΟΦΩΝΤΟΣ ΠΑΡΑΝΟΜΩΝ.

Cf. pro Euxenippo col. 38.

44 43. Κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος μισθοῦ λέγων καὶ ὡς παρανόμων γραφὰς οε´ πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ᾽ ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου παρανόμων ἑάλω. φησὶ

---

mowitz huc referendum esse ci. — 40 οἰκίαν et συνοικίαν mavult S. Sunt genetivi. — 41 erat Οἰνῆϊς; v. ad or. III col. 26. — 43 γραφὴν cod., γραφὰς οε´ vel γραφὰς πολλάκις ci. S. coll. Aesch. 3, 194. — παρὰ ὀλίγον ἑάλω MO.; del. πα-

δ' αὐτὸν Ὑπ. καὶ Ἀρδηττὸν ἐπικληθῆναι, διὰ τὸ πολλάκιϲ αὐτόθι ἐπιωρκηκέναι. — Schol. Aesch. 1, 64.

44. *Οἶδε γὰρ αὐτῷ δεδομένην ἄδειαν καὶ πράτ-* 45
τειν καὶ γράφειν ὅ τι ἂν ἔμβραχυ βούληται. — Schol. Plat. p. 384 Bk.

45. *Μοιχίδιον* τὸν ἐκ μοιχοῦ γεγενημένον Ὑπ. 46
ἐν τῷ κατὰ Ἀρ. — Antiattic. in B. A. p. 108, 1; cf. Phot. lex. p. 273, 24 et Suidas 2, 1 p. 904.

46. *Μονοπώλιον* δὲ Ὑπ. εἴρηκεν ἐν τῷ κατὰ Ἀρ.· 47
οἱ δὲ ἄλλοι λέγουϲι μονοπωλίαν. — Poll. VII, 11.

*47. *Nam cum ceterorum opinionem fallere co-* 48
naris, tu tete frustraris. Non enim probas, cum te pro astuto sapientem appelles, pro confidente fortem, pro illiberali diligentem rei familiaris, pro malivolo severum. Nullum est enim vitium, quo virtutis laude gloriari possis. — Rutil. L. I, 4 (Hyperidis); cf. Quintilian. IX, 3, 65; Isidor. Orig. II, 21, 9. Kiesslingius etiam frg. inc. 216 ad hanc orationem refert.

X. ΥΠΕΡ ΑΡΠΑΛΟΥ VIII

εἰ γνήϲιοϲ.

48. Εἰ δὲ μὴ ψευδὴϲ ὁ Ὑπερείδου λόγοϲ ὑπὲρ 49
Ἁρπάλου, ἐν αὐτῷ γέγραπται· *ἐκπηδήσαντες ἐκ τῶν περδικοτροφείων.* — Pollux X, 159.

XI. ΚΑΤ' ΑΡΧΕϹΤΡΑΤΙΔΟΥ. IX

49. Κινήϲομεν δὲ ἔλεον κἂν ὑποδεικνύωμεν πά- 50
θοϲ τὸ ϲυμβεβηκὸϲ περί τιναϲ τῶν οἰκείων τοῦ κρι-

ρανόμων Meier. — 45 τὸν Phot. et Suid., τὸ anecd. γεγεννημένον Suidas. — 47 ad h. or. rettulit Kiessling. Dedi lectiones Quintiliani, qui Rutilii librum usurpavit; huius enim ipsius codices alterum *cum* omittunt et pro *appelles intellegi* offerunt. Cum Quintiliano facit etiam paraphrasis quae est in carmine de schematis v. 113 sqq. Contra *intelligenti* ci. Ruhnken; [*intellegi*] auctore Hauptio Halm. — *quo ut virtutis laude* mal. Halm. — 48 ἐκδήϲαντεϲ cod. heidelb. — 49 πάθοϲ Par. A.: τὸ πάθοϲ. — περί τινοϲ Par.

νομένου ἢ τοῦ τεθνεῶτος, (ὡς) Ὑπ. ἐν τῷ κατ' Ἀρχ.· ἐπέξειςι γὰρ τὰ ςυμβεβηκότα τῇ τοῦ Ὀνείδου μητρί. — Apsin. τέχν. ῥητ. IX p. 591 W. I p. 403 Sp.

51 50. Ὅτι δὲ οὐκ ἐξῆν τοῖς ἀποδημοῦςι θεωρικὸν λαμβάνειν, Ὑπ. δεδήλωκεν ἐν τῷ κατ' Ἀρχ. — Harp. s. v. θεωρικά.

52 51. *Εὔβουλος*· — ἕτερος δ' ἐςτὶν ὁ κωμικός, οὗ μνημονεύει Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Harpocr.

53 52. *Ἱερά*· τὰ τῶν τεθνηκότων ὀςτᾶ. Ὑπ. κατὰ Ἀρχ. — Antiattic. in B. A. p. 100, 18, et similiter Ammon. π. διαφ. λ. p. 73 Valck.

54 53. Ὑπ. ἐν τῷ κατ' Ἀρχ.· *οἱ τοὺς ἰθυφάλλους ἐν τῇ ὀρχήστρᾳ ὀρχούμενοι*. — Harp. s. v. ἰθύφαλλοι.

55 54. *πάραλος*· — — οἱ δὲ ἐπιβεβηκότες αὐτῆς ἐκαλοῦντο Πάραλοι, οἳ διὰ ταύτην τὴν ὑπηρεςίαν δ' τε ὀβολοὺς ἐλάμβανον καὶ τὸ πλεῖον μέρος τοῦ ἐνιαυτοῦ οἴκοι ἔμενον, ἄλλα τέ τινα ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως, ὥς φηςιν Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Harpocr.

56 55. *Ξυπεταίονες*· Ὑπ. κατ' Ἀρχεςτρ. — Harp.

57 56. *ἐν παραβύστῳ* ἀντὶ τοῦ κρύφα καὶ οὐ φανερῶς Ὑπ. ἐν τῷ κατ' Ἀρχ. — Harp.

58 57. *Στειριεύς*· Ὑπ. κατ' Ἀρχεςτρ. — Harpocr.

x XII. ΚΑΤ' ΑΥΤΟΚΛΕΟΥϹ ΠΡΟΔΟϹΙΑϹ.

95 58. Ὑπ. ἐν τῷ κατ' Αὐτ. εἰπών, ὅτι τοῦτον ἐπὶ λόγοις δεῖ κολάςαι, τίθηςιν ὅμοιον, ὅτι *καὶ Σωκράτην οἱ πρόγονοι ἡμῶν ἐπὶ λόγοις ἐκόλαζον*. Gregor. Corinth. ad Hermog. VII p. 1148 W.

A. — ὡς add. Bake (ci. etiam S.). — Ἀρχεςτρατίδου S.: Ἀρχεςτράτου. — ἐπέξ. γὰρ Par. A: ἐπέξ. λέγει γάρ που Ald. — 52 ap. Ammon. ἀρχιςτρατίδου libri; em. Valck. — 53 ἀρχιςτρατίδου BC. — 54 ἀρχεςτράτου A, ἀρχιςτράτου Ald. — 55 ξυπεταιῶνες epit., ξυπεταίων C, ξυπετάλων B, ξυπετέωνες Q. — ἀρχιςτρατίδου B. — 56 ἀρχιςτρατίδου Ald. AB, ἀρχιςτρατήδου C. — 57 ςτιριεύς Suid., ςτιρεύς ABGN Ald. epit.,

59. *ἐγκάθετος*· Ὑπ. κατὰ Αὐτοκλέουϲ. Antiattic. 60
in B. A. p. 96, 30. *Ἐγκάθετος*· οὕτωϲ Ὑπ. ἀπερριμμένωϲ, δέον δοκιμώτερον χρήϲαϲθαι τῷ θετὸϲ ἢ εἰϲποίητοϲ ἢ ὑπόβλητοϲ. Phrynich. epitomes p. 333 Lob.

60. *ἔργα νέων*. τοῦτο καὶ Ὑπερείδηϲ ἐν τῷ κατ' 61
Αὐτ. Ἡϲιόδου φηϲὶν εἶναι. Harpocr. — Ἔργα νέων, βουλαὶ δὲ μέϲων, εὐχαὶ δὲ γερόντων. τοῦτο Ὑπ. ἐν τῷ κατ' Αὐτ. Ἡϲιόδου φηϲὶν εἶναι παροιμίαν. Mich. Apost. prov. cent. 9, 6.

61. *Εὔηνος*· Ὑπ. ἐν τῷ κατ' Αὐτ.· β' ἀναγρά- 62
φουϲιν Εὐήνουϲ ἐλεγείων ποιητὰϲ ὁμωνύμουϲ ἀλλήλοιϲ. Harpocr.

62. *κατέλευσαν* λίθοιϲ κατέβαλον· Ὑπ. ἐν τῷ 63
κατ' Αὐτοκλέουϲ. — Harp.

63. Ἦν δὲ καὶ ἕτεροϲ Κολωνὸϲ πρὸϲ τὸ τοῦ Πο- 64
ϲειδῶνοϲ ἱερόν, ὡϲ Ὑπ. ἐν τῷ κατ' Αὐτ.· οὗτοϲ δ' ἂν εἴη ὁ τῶν ἱππέων. — Harp. s. v. Κολωνέταϲ.

64. *Μηλόβιος*· Ὑπ. ἐν τῷ κατ' Αὐτοκλ.· ἔϲτι δὲ 65
εἷϲ τῶν λ' τῶν παρ' Ἀθηναίοιϲ τυραννηϲάντων. Harpocr.

65. *ποδοστράβη*· Ὑπ. ἔν τε τῷ κατ' Ἀθηνογέ- 66
νουϲ καὶ ἐν τῷ κατ' Αὐτοκλ. Harp.

66. Ὑπ. ἐν τῷ κατ' Αὐτοκλ. προδοϲίαϲ· *ῥητορι-* 67
κῆς ἐκ δήμου (scil. γραφῆϲ)· ἔϲτι γὰρ καὶ ἐκ βουλῆϲ. Lex. cantabrig. p. 677, 16.

67. *στρατηγοί*· — οἱ καθ' ἕκαϲτον ἐνιαυτὸν χει- 68
ροτονούμενοι ϲτρατηγοὶ ι' ἦϲαν, ὡϲ μαθεῖν ἔϲτιν ἔκ τε τῶν Ὑπερείδου κατ' Αὐτοκλ. καὶ ἐκ τῆϲ Ἀθηναίων πολιτείαϲ Ἀριϲτοτέλουϲ. Harp.

ϲτειρεύϲ C. — 60 integram paroemiam Harp. ex Aristophane grammatico addit, unde colligas Hyperidem non integram eam laudasse. — 61 Kiessling versus Eueni qui exstant ap. Stob. Flor. 51, 17 ab Hyperide allatos putat. — 64 Coniunxerunt Kiessling et S. aliud fragmentum: Δρακοντίδηϲ εἷϲ τῶν λ'· Ὑπερείδηϲ (Harpocr.). — 67 ἐκ τοῦ ὑπερίδου

69 68. Μέμνημαι δὲ καὶ περὶ τοῦ τῆς *γνώμης* ὀνόματος εἰπὼν ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ εἴτε τῷ διανοίας εἴτε καὶ ἐννοήσεως ἐλέγετο — — καὶ Αἰσχίνης δὲ κατὰ τούσδε ὁ Σωκρατικὸς ἐν τῷ Μιλτιάδῃ κατὰ τὸ αὐτὸ σημαινόμενον κέχρηται τῷ ὀνόματι καὶ Ὑπ. ἐν τῷ κατ' Αὐτ. καὶ ἄλλοι. Galenus vol. XVIII, 2 p. 656 sq. Kühn.

XI XIII. ΠΡΟΣ ΔΑΜΙΠΠΟΝ.

70 69. *πρόσκλησις* ἡ εἰς δικαστήριον κλῆσις, καὶ *προσκαλέσασθαι* τὸ παραγγέλλειν εἰς δίκην· Δημοσθένης ἐν τῷ περὶ τοῦ Ἁγνίου κλήρου, Ὑπ. ἐν τῷ πρὸς Δάμιππον. Harpocr.

XII XIV. ΔΗΛΙΑΚΟΣ.

Cf. Dem. de corona § 134; Biogr. X orat. p. 849 F; Apollon. Vit. Aesch. p. 402 ed. turic.; Hermog. III p. 219 W.; Max. Plan. V p. 482 W.; Anonym. VII p. 26 W., quem locum (v. supra p. XXXVIII adn.) recte huc refert Bb.

71 70. *Θεὸς μὲν ἦν ἀεί — — λέγεται γὰρ τὴν Λητὼ κύουσαν τοὺς παῖδας ἐκ Διὸς ἐλαύνεσθαι ὑπὸ τῆς Ἥρας κατὰ γῆν καὶ κατὰ θάλασσαν· ἤδη δὲ αὐτὴν βαρυνομένην καὶ ἀποροῦσαν εἰς τὴν γῆν ἐλθεῖν τὴν ἡμετέραν καὶ λῦσαι τὴν ζώνην ἐν τῷ τόπῳ ὃς νῦν Ζωστὴρ καλεῖται.* Prima verba Anon. ad Hermog. VII p. 956 not.; reliqua Max. Plan. V p. 481 W. — Eadem magis etiam integra, sed paullum immutatis verbis exhibet Ioann. Sic. VI p. 210 W.: λέ-

---

καὶ ταυτοκλέους BCG. — 68 κατ' αὐτὸ Διοκλέους libri; em. S. — 70 Anon. ad Hermog. VII p. 956 not.: ὁ Ὑπ., ὁρισθεὶς ἐγκωμιάσαι τὸν Ἀπόλλω καὶ μὴ δυνηθεὶς θεολογῆσαι, τοῦ μύθου ἀπήρξατο τοῦ περὶ τὴν Λητὼ γεγενημένου ἐν τῇ Δήλῳ, καὶ βουλόμενος δεῖξαι ἐκ παλαιοῦ τὴν πόλιν οἰκείαν εἶναι Ἀπόλλωνος, — — ἐξ ὁμολογουμένων πραγμάτων ἤρξατο, ἀναλογούντων τῷ γένει, λέγων θεὸς μὲν ἦν ἀεὶ καὶ τὰ ἑξῆς. — Max. Plan.: βουλόμενος γὰρ ἐκεῖνος ἐξ ἀρχαίου δεῖξαι τοῖς Ἀθηναίοις τὰ ἐν Δήλῳ ἱερὰ προσήκοντα,

γεται γὰρ τὴν Λητὼ κύουϲαν ἐκ Διὸϲ ἐλαύνεϲθαι ὑπὸ τῆϲ Ἥραϲ κατὰ πᾶϲαν γῆν τε καὶ θάλαϲϲαν ζηλοτυπούϲηϲ· ἤδη δὲ αὐτὴν ἡ ὠδὶϲ καταλαβοῦϲα εἰϲ τὴν ἡμετέραν χώραν λῦϲαι τὴν ζώνην· ἀνθ' ὧν νῦν ὁ Ζωϲτὴρ ἀπὸ τοῦδε καλεῖται· ἔπειτα εἰϲ Δῆλον διαβᾶϲαν διδύμουϲ τεκεῖν, Ἄρτεμίν τε καὶ Ἀπόλλω τοὺϲ θεούϲ. — Adde Aristid. 1 p. 157 Dd.: Λητώ τε γάρ, λυϲαμένη τὴν ζώνην ἐν Ζωϲτῆρι τῆϲ Ἀττικῆϲ καὶ λιποῦϲα τὴν ἐπωνυμίαν τῷ τόπῳ, βαδίζουϲα ἀεὶ εἰϲ τὸ πρὸϲ ἕω, τῆϲ Προνοίαϲ Ἀθηνᾶϲ ἡγουμένηϲ, ἀπ' ἄκραϲ τῆϲ Ἀττικῆϲ ἐπιβᾶϲα τῶν νήϲων εἰϲ Δῆλον καταίρει καὶ τίκτει δὴ τοὺϲ θεούϲ, τήν τε Ἄρτεμιν καὶ τὸν πατρῷον Ἀπόλλω τῇ πόλει, et schol. ad h. l.: τοῦτο καὶ Ὑπ. ἐν τῷ Δηλιακῷ, βουλόμενοϲ δεῖξαι ὅτι αἱ νῆϲοι ἐγγύϲ εἰϲι τῆϲ Ἀττικῆϲ, εἶπεν, ὅτι ἀπ' ἄκραϲ τῆϲ Ἀττικῆϲ ἡ Λητὼ ἐπέβη τῆϲ νήϲου. Porro Schol. Vat. Laur. Aeschin. 3, 108: τὸ δὲ Προνοίαϲ (scil. Ἀθηνᾶϲ ἱερὸν) Ὑπερείδηϲ ἐν Δηλιακῷ ϲυνιϲτᾷ ὅτι ἐν τῇ Ἀττικῇ ἐϲτιν. Suid. et Etymol. M.: Πρόνοια Ἀθηνᾶ — ὅτι προὐνόηϲεν ὅπωϲ τέκῃ ἡ Λητώ, et Schol. Aristid. l. c.: διὰ τοῦτο γὰρ ἐκλήθη Πρόνοια Ἀθηνᾶ, ὅτι προὐνοήθη τοῦ τόκου τῆϲ Λητοῦϲ. — Etiam Menander π. ἐπιδ. IX p. 422, id quod vidit Bb., hanc orationem respicit: λέγουϲι μὲν οἱ τὴν Δῆλον εὐτυχῆϲαι φάϲκοντεϲ τὴν ὑποδοχήν, ἀναϲχεῖν μὲν ἐκ θαλάττηϲ πρὸ τοῦ κρυπτομένην καὶ οὖϲαν ὕφαλον ὑποδέξαϲθαι πλανωμένην τὴν θεὸν ἐκ Ϲουνίου τῆϲ Ἀττικῆϲ ἐπιβᾶϲαν τῇ νήϲῳ (cf. eundem p. 144, de Zostere). — De templo Ἀθηνᾶϲ Προνοίαϲ, quod Deli fuit, conferi iubet Bb. Macrob. Sat. I, 17, 55.

πολλῷ κέχρηται τῷ μύθῳ, λέγων οὕτω κτέ. — εἰϲ τὴν γῆν ἐλθεῖν] εἰϲ τὴν χώραν ἐλθ. T. VII, ἐλθεῖν εἰϲ τὴν χώραν Ven. — ἀνθ' ὧν] ἔνθα ci. MO. — νῦν om. Mon. — Ioannem non ipsa verba Hyperidis afferre B. et S. perspexerunt. χώραν (ἐλθοῦϲαν) Meineke. ἀπὸ τοῦδε καλεῖται Ruhnk., ἀπὸ τοῦ δεκατικοῦ codex. — Ap. Schol. Aesch. ἐν Δηλ. Schulz: ἐν ἧ Laur., om. Vat. — ϲυνιϲτᾷϲ Laur., ϲυνίϲταϲ Vat., ϲυν-

72 71. *Ἐνταυθὶ θύεται τῷ Ἀπόλλωνι ὁσημέραι καὶ μερὶς αὐτῷ καὶ δεῖπνον παρατίθεται.* Priscianus 18, 251 p. 229 Kr.

73 72. *Καὶ τὸν κρατῆρα τὸν Πανιώνιον κοινῇ οἱ Ἕλληνες κεραννύουσιν.* Ath. X p. 424 E. Κεραννύουςιν ex Hyperide etiam Photius et Suidas afferunt.

74 73. Ἔχειc δὲ διπλοῦν cτοχαcμὸν παρὰ Ὑπ. ἐν τῷ Δηλ.· ἐκθηcόμεθα δὲ τὰ εἰρημένα ὑπὲρ τοῦ γενέcθαι cαφὲc τὸ λεγόμενον. *Ἀφίκοντό τινες εἰς Δῆλον ἄνθρωποι Αἰολεῖς πλούσιοι, χρυσίον ἔχοντες πολύ, κατὰ θεωρίαν τῆς Ἑλλάδος ἀποδημοῦντες ἐκ τῆς ἑαυτῶν· οὗτοι ἐφάνησαν ἐν Ῥηνείᾳ ἐκβεβλημένοι τετελευτηκότες. τοῦ δὲ πράγματος περιβοήτου ὄντος ἐπιφέρουσι Δήλιοι τοῖς Ῥηνεῦσιν αἰτίαν ὡς αὐτῶν ταῦτα πεποιηκότων, καὶ γράφονται τὴν πόλιν αὐτῶν ἀσεβείας, οἱ δὲ Ῥηνεῖς ἠγανάκτηνταί τε τῷ πράγματι καὶ προσκαλοῦνται Δηλίους τὴν αὐτὴν δίκην. οὔσης δὲ τῆς διαδικασίας, ὁπότεροί εἰσιν οἱ τὸ ἔργον πεποιηκότες, ἠρώτων οἱ Ῥηνεῖς τοὺς Δηλίους, δι' ἣν αἰτίαν ὡς αὐτοὺς ἀφίκοντο· οὔτε γὰρ λιμένας εἶναι παρ' αὐτοῖς οὔτε ἐμπόριον οὔτε ἄλλην διατριβὴν οὐδεμίαν· πάντας δὲ ἀνθρώπους ἀφικνεῖσθαι πρὸς τὴν Δῆλον ἔλεγον καὶ αὐτοὶ τὰ πολλὰ ἐν Δήλῳ διατρίβειν. τῶν δὲ Δηλίων ἀποκρινομένων αὐτοῖς, ὅτι ἱερεῖα ἀγοράσοντες οἱ ἄνθρωποι διέβησαν εἰς τὴν Ῥήνειαν, διὰ τί οὖν, ἔφασαν οἱ Ῥηνεῖς, εἰ ἱερεῖα ἧκον ὠνησόμενοι, ὥς φατε, τοὺς παῖδας τοὺς ἀκολούθους οὐκ ἤγαγον τοὺς ἄξοντας τὰ ἱερεῖα, ἀλλὰ παρ' ὑμῖν ἐν Δήλῳ κατέλιπον, αὐτοὶ δὲ μόνοι διέβησαν; πρὸς δὲ τούτοις τριάκοντα σταδίων ὄντων ἀπὸ τῆς διαβάσεως πρὸς τὴν πόλιν τὴν Ῥη-*

ιcτορεῖ Schulz. — 71 ἐνταυθὶ (O)Putsch. S.: ἐνταυθοῖ. — 73 Ῥηνεῦcιν] Ῥηνα(ι)εῦcιν (cf. infra) secundum inscriptiones verius est. — διαδικαcίαc] δικαcίαc codex. — παρ' αὐτοῖc cod., em. S. — οὐδὲ ἄλλην ci. S. — πάνταc τε cod.; em. S. — ἀγοράcαντεc cod., em. S. — ὠνηcάμενοι cod.; em. S. — δὲ

ναέων, τραχείας οὔσης ὁδοῦ, δι' ἧς ἔδει αὐτοὺς πορευθῆναι ἐπὶ τὴν ἀγορασίαν, ἄνευ ὑποδημάτων διέβησαν, ἐν Δήλῳ δ' ἐν τῷ ἱερῷ ὑποδεδεμένοι περιεπάτουν; Anonym. ad Hermog. IV p. 445 sq. W. Huc pertinent glossae Harpocrationis: *ἀγοράσαι* ἀντὶ τοῦ ὠνήϲαϲθαι ʽΥπ. ἐν τῷ Δηλ., et *ʽΡηναία*· ʽΥπ. Δηλ.

74. *Σύνταξιν ἐν τῷ παρόντι οὐδενὶ διδόντες,* 75
ἡμεῖς δέ ποτε ἠξιώσαμεν λαβεῖν. — Harpocr. s. v.
ϲύνταξιϲ, cf. E. M. p. 736, 3.

75. *Ἄνετον* ἀντὶ τοῦ ἱερὸν καὶ ἀνειμένον θεῷ 76
τινι ʽΥπ. Δηλ. Harp.; cf. B. A. 399, 12; Suid. s. v.

76. *Ἀποικία.* ἰδίωϲ τὰ γράμματα καθ' ἃ ἀποι- 77
κοῦϲί τινεϲ οὕτωϲ ὠνόμαϲαν· ʽΥπ. Δηλ. Harpocr.

77. *Ἀρτεμίσιον* ἰδίωϲ τὸ τῆϲ Ἀρτέμιδοϲ ἄγαλμα· 78
ʽΥπ. Δηλ. Harpocr.

78. *προηροσία*· ʽΥπ. Δηλ. ὄνομα θυϲίαϲ. Harpocr. 79

XV. ΚΑΤΑ ΔΗΜΑΔΟΥ ΠΑΡΑΝΟΜΩΝ. XIII

Cf. Suid. 1, 1 p. 1241, 18 et 2, 2 p. 452, 10; Plut. moral. p. 810 D.

79. *Ἃ μὲν γὰρ οὗτος εἰσκεκόμικεν, οὐκ ἔχει* 80
τὰς ἀληθεῖς αἰτίας τῆς προξενίας· ἐγὼ δὲ, εἰ δεῖ πρόξενον ὑμῶν αὐτὸν γενέσθαι, δι' ἃ τούτου τεύξεται γράψας εἰσφέρω. ἔπειτα τὸ ψήφιϲμα εἰϲφέρει· *δεδόχθαι* γάρ φηϲιν *αὐτὸν εἶναι πρόξενον, ὅτι τὰ Φιλίππῳ συμφέροντα καὶ πράττει καὶ λέγει, ὅτι γενόμενος ἵππαρχος τοὺς Ὀλυνθίων ἱππέας προὔ-*

τῷ ἱερῷ cod.; δ' ἐν S. — ap. Harpocr. priore loco μηλιακῷ BCFHKQ. — 74 ϲυντάξεωϲ et οὐ δίδοται E. M., sed cod. lugdun. Valckenaerii ϲύνταξιν et οὐδενὶ διδόντεϲ cum Harp. — δέ om. BCG. — 76 ἀποίκια dubitanter ci. MO. — 77 ἀρτ. ἰδίωϲ μὲν ʽΥ. πολλάκιϲ ὠνόμαϲε τὸ τῆϲ Ἀρτέμιδοϲ ἄγαλμα epitome. — 78 προηροϲίαι D et Phot. — 79 ὃ μὲν Meier de proxen. p. 1. — οὗτοϲ] αὐτὸϲ Gud. Par. C. — δεῖ.. αὐτὸν Par. A: ἔϲτι..αὐτῶν Ald. (αὐτὸν ci. Meier). — δι' ἃ τούτου Bake S.: διὸ τούτου Paris. A, διὰ τούτων Ald., διότι τούτων ci. Sp. — εἰϲφέρω Par. A: εἰϲφέρων Ald. — δεδόχθαι Paris.

δωκε Φιλίππῳ, ὅτι τοῦτο πράξας αἴτιος τοῦ Χαλκιδέων ὑπῆρξεν ὀλέθρου, ὅτι ἁλούσης Ὀλύνθου τιμητὴς ἐγένετο τῶν αἰχμαλώτων, ὅτι ἀντέπραξε τῇ πόλει περὶ τοῦ ἱεροῦ τοῦ Δηλίων, ὅτι τῆς πόλεως περὶ Χαιρώνειαν ἡττηθείσης οὔτε ἔθαψε τῶν τεθνεώτων τινὰς οὔτε τῶν ἁλόντων οὐδένα ἐλύσατο. διὰ τούτων κεφαλαιωδῶϲ ἀναμιμνήϲκει τῶν παρ' ὅλην τὴν κατηγορίαν εἰρημένων κατ' αὐτοῦ. Apsines IX p. 547 W.; cf. anon. ad Hermog. IV p. 425; Apsines τέχν. ῥητορ. IX p. 532 W.

81 80. Ἕτεροϲ δέ ἐϲτιν Ἀλκίμαχοϲ Μακεδών, οὗ μνημονεύει Ὑπ. ἐν τῷ κατὰ Δημ. οὕτωϲ· *Ἀλκίμαχον καὶ Ἀντίπατρον Ἀθηναίους καὶ προξένους ἐποιησάμεθα.* — Harp. s. v. Ἀλκίμαχοϲ; cf. B. A. 378, 23.

82 81. *Μήτε πόλεως μήτε πολιτείας ἐπηβόλους γενέσθαι.* E. M. p. 357, 18; Porphyr. quaest. hom. c. 1; Eustath. ad Odyss. p. 1448 R. 99 Bas.

83 82. *Περὶ οὗ πολλῷ ἂν δικαιότερον ἐν τοῖς ὀξυθυμίοις ἡ στήλη σταθείη ἢ ἐν τοῖς ὑμετέροις ἱεροῖς.* Harp. s. v. ὀξυθύμια.

84 83. *Εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι· τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας, τῶν δὲ ὄφεων αὐτῶν τοὺς μὲν ἔχεις τοὺς ἀνθρώπους ἀδικεῖν, τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.* — Harp. s. v. παρεῖαι ὄφειϲ; cf. Schol. Ar. Plut. 690, ubi per errorem, ut videtur, Lycurgus ἐν τῷ κ. Δ. laudatur.

A (ci. Meier): δεδεῖχθαι Ald. — αὐτὸν εἶναι πρόξενον ὅτι Par. A: πρ. αὐτὸν εἶναι διότι. — Φιλίππου Ven. B. Gud. — καὶ λέγει καὶ ποιεῖ, ὅτι γενηθεὶϲ appicto signo ÷ super η Par. A. — περὶ τοῦ ἱεροῦ codd.: ὑπὲρ τ. ἱ. Ald. — ἐλύϲατο Par. A: ἐρρύϲατο. — διὰ τούτων Meier Par. A: διὰ τοῦτο Ald. — altero loco diserte Apsines in fine orationis haec exstare refert. — 80 ἀθηνᾶϲ BCFH Ald.; ἀθηναῖοι AM. — καὶ om. BCH Ald. — πρόξενον BCFH Ald. — ποιηϲόμεθα BCH Ald., ποιηϲάμεθα F. — 81 cf. frg. inc. 239. — Δημάδου Porph. Eustath.; Δημάρχου E. M. — μήτε πόλεωϲ Eust.; μηδέποτε πολέμου Porph.; μήτε πόλιν E. M. — ἐπηβόλουϲ Porph. et Eust.; ἐπήβολον E. M. Explicatur ἐπιτευκτικόϲ, ἐπιτυχήϲ, ἐγκρατήϲ. — 83 δημάρχου BC. — ὁμοίωϲ AB epit. — ὄφιϲι

84. *Βουφόνια*· Ὑπ. ἐν τῷ κατὰ Δημ.. ἑορτή τις ἐστὶ παρ' Ἀθηναίοις. Harp. 85

85. *θριπήδεστον*·· Ὑπ. ἐν τῷ κατὰ Δημ. θριπήδεστον τὴν Ἑλλάδα εἶπεν ἀντὶ τοῦ διεφθαρμένην. Harp.; cf. Suid. 86

86. *Λητή*· Ὑ. κατὰ Δημ.. Λητὴ πόλις ἐστὶ τῆς Μακεδονίας. Harp. 87

87. *Μηκύβερνα*· Ὑπ. ἐν τῷ κατὰ Δημ.. πόλις ἐστὶν ἐν Θρᾴκῃ. — Harpocr. 88

88. *παλαμναῖος*· Ὑπ. ἐν τῷ κατὰ Δημ.. τοὺς αὐτοχειρίᾳ τινὰς ἀνελόντας τῇ παλάμῃ παλαμναίους ἐκάλουν. — Harpocr. 89

89. Καὶ ἐν τῷ κατὰ Δημ. δ' ὁ Ὑπ. εἴρηκεν· *ῥᾳδιεστέραν τὴν πόλιν.* Ath. X p. 424 D; cf. Eustath. ad Hom. Il. p. 746, 45. Ad eundem locum S. refert: ὡς Ὑπ. *ῥᾳδιώτερος*, Pollux V, § 107. 90

XVI. ΚΑΤΑ ΔΗΜΕΟΥ ΞΕΝΙΑϹ XIV
εἰ γνήσιος.

90. *ὀσχοφόροι*· Ὑπ. ἐν τῷ κατὰ Δημέου, εἰ γνήσιος. Harpocr. 92

91. *δειπνοφόρος*· Ὑπ. ἐν τῷ κατὰ Δημέου. Harpocr. 93

